Feb. 28. καλάμοις ὀξέσι κατασφάττεται· εἶτα χειροτονοῦσιν ἀντ' ἐκείνου τὸν ἀπατήσαντα αὐτοὺς Τιμόθεον [11] καὶ ἀνάγουσιν ἐπὶ τὸν τῆς ἀρχιερωσύνης θρόνον. Ὅπερ μαθὼν ὁ μετὰ Μαρκιανὸν βασιλεὺς Λέων τὸν μὲν Τιμόθεον ὑπὸ τὴν τῶν ἐπισκόπων ἐξουσίαν κριθῆναι κανονικῶς ἐποίησεν· ὃν καὶ γυμνώσαντες τῆς ἀρχιερατικῆς τιμῆς εἰς Γάγγραν ἐξώρισαν. Τοὺς δὲ κοινωνήσαντας λαϊκοὺς εἰς τὸν τοῦ ἀρχιερέως φόνον, μάστιξι καὶ δημεύσεσι καὶ μελῶν ἀφαιρέσεσι παιδεύσας [13], Τιμόθεον ἕτερον ὀρθόδοξον, Σαλοφακίολον λεγόμενον, χειροτονηθῆναι Ἀλεξανδρείας ἐπίσκοπον παρεκελεύσατο [13]· καὶ οὕτως ἡ στάσις πέρας εἴληφε.

**3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος
170r. Νέστορος. Οὗτος ἦν κατὰ | τοὺς χρόνους Δεκίου τοῦ βασιλέως καὶ Πουπλίου ἡγεμόνος, ἐκ Πέργης τῆς Παμφυλίας. Διὰ δὲ τὸ σέβεσθαι τὸν Χριστὸν συνελήφθη παρὰ τοῦ ἄρχοντος Εἰρηνάρχου καὶ ἤχθη πρὸς τὸν ἡγεμόνα· καὶ ὁμολογήσας κατενώπιον αὐτοῦ τὴν εἰς Χριστὸν πίστιν, σταυροῦται καὶ πρὸς τὸν Θεὸν εὐχαριστηρίους φωνὰς ἀφιεὶς καὶ τοὺς πιστοὺς ἐπιστηρίζων τὸ πνεῦμα παρέδωκε.

**4.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀβερκίου.

**5.** Καὶ τῶν ἁγίων ἀποστόλων Εὐβούλου [1] καὶ Νυμφᾶ.

**6.** Καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βαρησοῦ ἐπισκόπου Δαμασκοῦ.

**7.** Καὶ τοῦ ὁσίου [1] Κασιανοῦ.

**8.** Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν [1] Παύλου, τοῦ διὰ Χριστὸν σαλοῦ, τοῦ ἐν Κορίνθῳ.

**9.** Τῇ αὐτῇ ἡμέρᾳ [1] μνήμη τῶν ὁσίων γυναικῶν [Feb. 29.] Μαράνας καὶ Κύρας. Ταύταις πατρὶς μὲν ἡ πρὸς ἕω κειμένη Βέρροια, γένος δὲ [2] τῆς πατρίδος ἐπίσημον, τροφὸς [3] δὲ τῷ γένει συμβαίνουσα [4]. Ἀλλὰ τούτων ἁπάντων ὑπεριδοῦσαι καὶ εἴσω γενόμεναί [5] τινος οἰκίσκου, πηλῷ τε καὶ λίθοις ἀναφράξασαι τὴν θύραν καὶ θυρίδιον μικρὸν ἐάσασαι [6], δι' οὗ τήν τε ἀναγκαίαν τροφὴν εἰσεδέχοντο καὶ ταῖς πρὸς αὐτὰς ἀφικομέναις [7] διελέγοντο, Θεῷ τὰς δοξολογίας ἀνέπεμπον. Ὅλον μέντοι τὸν ἐνιαυτὸν ἐν ἡσυχίᾳ διῆγον, μόνον δὲ τὸν τῆς πεντηκοστῆς καιρὸν τὴν διάλεξιν ἐποιοῦντο. Ἔφερον δὲ καὶ τοῖς σώμασιν σιδήρου ἄπειρον βάρος, τὰ δὲ περιβόλαια μέγιστα εἶχον. Ἀσιτίᾳ δὲ καὶ καρτερίας ὑπομονῇ τοσοῦτον διήνεγκαν, ὡς διὰ τεσσαράκοντα ἡμερῶν ἅπαξ μεταλαμβάνειν τροφῆς ἐπὶ τρεῖς ὅλους ἐνιαυτούς. Ἀλλὰ καὶ εἰς τὸν ζωοδόχον τάφον Χριστοῦ πορευθεῖσαι οὐδεμιᾶς τροφῆς ἀπήλαυσαν, μέχρις ἂν τὴν προσκύνησιν ἐποιήσαντο. Καὶ πάλιν ἐπανελθοῦσαι ἄσιτοι τὴν πορείαν ἤνυσαν· τὸ δὲ τῆς ὁδοῦ μῆκος σταθμῶν ὑπῆρχεν εἴκοσι. Καὶ εἰς τὸ τῆς καλλινίκου Θέκλης τέμενος ἀπελθοῦσαι ὡσαύτως διεπράξαντο. Αὗται μὲν οὖν τοιαύτῃ πολιτείᾳ τὸ θῆλυ κατακοσμήσασαι γένος, πρὸς τὸν ποθούμενον νυμφίον ἀνέδραμον. Γένοιτο δὲ καὶ ἡμᾶς ταῖς αὐτῶν πρεσβείαις καὶ πάντων τῶν ἁγίων τῆς τῶν σωζομένων μερίδος ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

— [11] τὸν Αἴλουρον *add.* Sa. — [12] παιδεύσαντες κατὰ τὸ τοῦ βασιλέως πρόσταγμα Sa. — [13] ἐθέσπισαν Sa.

5. — [1] Εὐβόλου Sa.

7. — [1] πατρὸς ἡμῶν *add.* Sa.

8. — [1] πατρὸς ἡμῶν *om.* Sa.

9. — [1] ὅταν ἔχει ὁ φευρουάριος κθ' λέγε *in marg.* S. — [2] τὸ *add.* Sa. — [3] τροφαὶ Sa. — [4] συμβαίνουσαι Sa. — [5] γενόμενα S. — [6] ἐάσαι S. — [7] ἀφικνουμέναις Sa.

Feb. 28. » πρὸς τὸν Χριστόν· μὴ ἀρνησώμεθα τὸν δι' ἡμᾶς παθόντα. » Καὶ εὐξάμενος καὶ τὸ ἀμὴν ἀναπέμψας ἀπέδωκε τὴν ψυχήν. — 4. 5. — **Da** : 3. 9. 6 (Βάρσου). — 7. — Τοῦ ἁγίου μάρτυρος Γελασίου. — **Db** : 3. 9. 6. 7. — Γελασίου. — **F** : 1. 4. 6 (Βάρσου). — 7. — Γελασίου (Feb. 26[5]). — 9. — **Fa** : 1. 5. 4. 6 mutil. 7. — Γελασίου. — 9. **B** : 3. — Θαλελαίου (Feb. 27[2]). — 9. — Δομνίνης (Mart. 1[8]). — **Ba** : 3 (= S). 9 (= S). — Ῥιγίνου (Feb 25[4]). — 6 (Βάρσου). — 7 (Κασσιανοῦ). — Γελασίου. — Δομνίνης. — **G** : 3. 9. 6 (Βαρσοῦ). — 7 (Βασσιανοῦ). — Γελασίου. — **C** : 2 : Ζήτει ὄπισθεν εἰς τὰς κβ' τοῦ αὐτοῦ μηνός, et scriptus hic est super rasuram numerus κθ'. — **Cb** : 3 (τοῦ ἁγίου μάρτυρος ἐπισκόπου). — 6 (Βάρσου). — 7. — Γελασίου. Dein, die mensis 29 notatur : μνήμην ἐπιτελοῦμεν τοῦ δικαίου Ἰώβ. — **Cd** : 3. — **R** : 1. 3. 9. — Sequitur, die 29 : Θεοστερίκτου ἡγουμένου τῆς Πελεκιτῆς (cf. Feb. 17[4]). — Νέστορος καὶ Ἀλεξάνδρου. — **K** : 3. 6 (Βάρσου). — 7. — Γελασίου. — **M** : 2. 3. 9. — Οἱ ἅγιοι ἓξ μάρτυρες οἱ ἐξ Αἰγύπτου ξ. τ. — 5. 6 (Βάρσος). — 7. 4. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κατὰ τὴν τετράδα τῆς μεσονηστίμου προσκύνησις τοῦ τιμίου σταυροῦ. — Ἡ ἁγία Φωτεινὴ ἡ Σαμαρεῖτις ξ. τ. (cf. Feb. 27 inter synax. sel.). — Φωτώ. — Φωτίς. — Παρασκευή. — Κυριακή. — Ἰωσῆς. — Φωτεινός. — Σεβαστιανός. — Ὁ ἅγιος Βίκτωρ... ξ. τ. — Ὁ ἅγιος Μαρδάριος... ξ. τ. — **Mv** : 1. 2. 3. 9. — Οἱ ἅγιοι μάρτυρες οἱ ἐξ Αἰγύπτου. — 5. 6 (Βάρσας). — 4 (Ἀβίρκιος). — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κατὰ τὸ μέσον τῆς τεσσαρακοστῆς προσκύνησις κτλ. — **Mb** : 1. 2. 3. 9. — Τῶν ἁγίων ἓξ μαρτύρων. — 5. 6 (Βάρσου). — 4 (Ἀβρίκιος). — **Mr** : 7 : τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Κασσιανοῦ τοῦ Ῥωμαίου.

---

# ΜΗΝ ΜΑΡΤΙΟΣ

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιβ'
καὶ ἡ νὺξ ὥρας ιβ'.

## Α'.

Exod. 12, 2. **1.** Οὗτος ἀρχὴ μηνῶν καὶ πρῶτος διαγορεύεται παρὰ τῷ θεσπεσίῳ Μωσεῖ. Ἐν τούτῳ γὰρ μανθάνομεν τὰ πάντα παραχθῆναι ὑπὸ Θεοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· καὶ δῆλον ἐκ τοῦ τὴν γῆν ἀναδιδόναι τότε βοτάνας καὶ σπειρεῖν [1] σπέρμα κατὰ τὴν θείαν πρόσταξιν, καὶ ἐνεαρίζειν καὶ γαληνιᾶν τήν τε θάλασσαν καὶ τὸν οὐρανὸν διαυγέστερον γίνεσθαι, τῆς ἐκ [2] τοῦ χειμῶνος νεφώσεως καὶ ἀχλύος ἀπηλλαγμένον [3]. Ἐν τούτου [4] τῇ εἰκοστῇ πέμπτῃ καὶ ὁ ἄνθρωπος ἐπλάσθη χειρὶ Θεοῦ. Ἐν τούτῳ καὶ ὁ Ἰσραηλίτης λαὸς τῆς Φαραωνίτιδος ἀπελύθη χειρὸς καὶ τὴν ἐρυθρὰν διεπέρασε καὶ τὸ πάσχα ἐπετέλεσε· ἐν τούτῳ καὶ εἰς τὴν γῆν εἰσῆλθε τῆς ἐπαγγελίας. Ἐν τούτῳ καὶ ὁ υἱὸς τοῦ Θεοῦ κατελθὼν διὰ τὴν ἡμετέραν σωτηρίαν ᾤκησεν εἰς τὴν μακαρίαν κοιλίαν τῆς ἀειπαρθένου Μαρίας τῆς [5] θεοτόκου, σάρκα ἐξ αὐτῆς δανεισάμενος. Ἐν τούτῳ καὶ τὸν διὰ σταυροῦ θάνατον κατεδέξατο καὶ τὴν ἀνάστασιν ἡμῖν ἐν αὐτῷ [6] θεοπρεπῶς ἐνεκαίνισεν. Ἐν τούτῳ πιστούμεθα καὶ τὴν κοινὴν ἀνάστασιν καὶ παγκόσμιον κρίσιν καὶ τὴν παντελῆ καὶ ἀκατάλυτον ἀποκατάστασιν γενήσεσθαι. Ὃν εἰπών τις μῆνα ἄρτιον εἰκότως ἐρεῖ, ὡς ἐν αὐτῷ εὑρίσκων πάντα τὰ τῆς διαρτίας γεγονότα, γινόμενά τε καὶ γενησόμενα. Οὗτος παρὰ μὲν [7] Ἑβραίοις Νισὰν καλεῖται, παρ' Ἰταλοῖς δὲ τὸ πρῶτον Πρῖμος, μετὰ ταῦτα δὲ παρὰ Ῥώμου, τοῦ τὴν Ῥώμην κτίσαντος, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν ἡ πόλις ἔσχε, Μάρτιος ἐξ αἰτίας τοιαύτης. Οὗτος γὰρ ὁ Ῥῶμος Mart. 1.
κτίζων ἱερὸν Ἄρεος ἐν τῷ μηνὶ τῷ Πρίμῳ, τοῦτο ἀπαρτίσας καὶ ἐγκαινίσας μετωνόμασε καὶ τὸν μῆνα Μάρτιον, ὅ ἐστιν Ἄρεος ἑλληνιστί, τιμῶν κἀν τούτῳ τὸν θεὸν αὐτοῦ. Καὶ ἵνα παρεκβατικώτερον τῷ λόγῳ χρήσωμαι, οὗτος ἐκλήθη Μάρτιος, τοῦτ' ἔστι μὴν ἄρτιος ἤγουν τέλειος, ὡς τοῦ πρὸ αὐτοῦ, δηλονότι τοῦ Φεβρουαρίου, κεκολοβωμένου ὄντος. Περὶ οὗ οἶμαι καὶ τὸν Κύριον αἰνιγματωδῶς ἐν τοῖς εὐαγγελίοις εἰπεῖν, ὅτι εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέ- Marc. 13, 20.
ραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ, τὸ ἄρτιον ἐν τῷ μηνὶ τῷ Μαρτίῳ [8] ἀποληψομένη. Καὶ ταῦτα μὲν οὕτως. Ἀρκτέον δὲ ἤδη σὺν Θεῷ τοῦ ἐπιτάγματος ἢ συντάγματος ἢ συνάγματος [9].

**2.** Ἄθλησις [1] τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας τῆς ἀπὸ Σαμαρειτῶν. Αὕτη ἦν ἐξ Ἡλιουπόλεως, τῆς ἐπαρχίας Λιβανησίας Φοινίκης, κατὰ τοὺς καιροὺς τῆς βασιλείας | Τραϊανοῦ, ἐν ἀκολα- f. 171r.
σίᾳ τὸ πρῶτον [2] διαβιοῦσα καὶ πολλοὺς ἐραστὰς τῇ εὐπρεπείᾳ τῆς ὄψεως [3] περισυρομένη [4] καὶ πλοῦτον πολὺν συναθροίσασα. Ὕστερον δὲ προσῆλθε τῷ Χριστῷ, Γερμανοῦ τινος μοναχοῦ τοὺς περὶ [5] εὐσεβείας καὶ μετανοίας λόγους [6] διεξιόντος ἀκούσασα. Βαπτίζεται οὖν ὑπὸ Θεοδότου ἐπισκόπου ἀποκαλύψεσι θείαις πεισθεῖσα. Καὶ γὰρ ἔδοξεν ἐκστᾶσα ἑαυτῆς ὑπὸ ἀγγέλου χειραγωγουμένη [7] εἰς τὸν οὐρανὸν ἀνελθεῖν· καὶ τοὺς ἀγγέλους συγχαίρειν αὐτῇ τῆς ἐπιστροφῆς, καὶ μέλανά [8] τινα καὶ

**Tit.** — ὦ Χριστὲ *in margine sup.* S.

1. — [1] σπεῖρον Mc. — [2] ἐκ τῆς Mc. — [3] ἀπηλλαγμένου S. — [4] τούτω Mc. — [5] πανάγνου *add.* Mc. — [6] ἐν αὐτῷ *om.* Mc. — [7] τοῖς *add.* Mc. — [8] τῷ μαρτίῳ μηνὶ Mc. — [9] ἢ σ. *om.* Mc.

2. — [1] ἐν τῇ πρώτῃ τοῦ αὐτοῦ μηνὸς μνήμη Mc. — [2] πρότερον Mc. — [3] τοῦ σώματος Mc. — [4] ἐπισυρομένη Mc. — [5] τῆς *add.* Mc. — [6] λόγου S. — [7] ἐκστᾶσαν ... χειραγωγουμένην Mc. — [8] μέλαινα S.

SYNAXARIA SELECTA. **H** : 2. 4. 6. 5. — **P** : 2. 4. 6 (... Ἀντωνίου). — 5. — **D** : 2. 3. 4. 6. 5. — Mart. 1.
**Da** : 2. — **Db** : 2. 3. — **K** : 2. 3 mutil. — **N** : 2. 4. 5. 3. 6. — **Bb** : 2. 4 (... Τριβιβίου). — 5. — **Bc** : 2. 4. — **C** : 2. 4. 6 et 5 : Μαρκέλλου καὶ Ἀντωνίου, Σιλβέστρου, Σωφρονίου καὶ Ἀντωνίνης. Αὕτη ἦν ἐκ πόλεως Νικαίας ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ· ᾧτινι παραστᾶσα ἠρωτήθη καὶ ὡμολόγησε παρρησίᾳ τὸ ὄνομα τοῦ Κυρίου. Κατεγέλασε δὲ τῶν ματαίων εἰδώλων· διὸ βασανίζεται ἰσχυρῶς κατὰ τῶν μαζῶν καὶ κατὰ τοῦ στήθους καὶ βάλλεται εἰς φυλακήν· εἶτα κρεμασθεῖσα ξέεται τὰς πλευράς. Στηλιτεύουσα δὲ τὴν πλάνην καὶ τὰ εἴδωλα καθυβρίζουσα γυμνοῦται παρὰ τῶν δημίων. Μελλόντων δὲ τῶν δημίων ἅπτεσθαι αὐτῆς, ἦλθον ἄγγελοι φυλάττοντες μὲν αὐτήν, κολάζοντες δὲ ἐκείνους· εἶτα ἐτέθη ἐπὶ ἐσχάρας πυρωθείσης καὶ διαφυλαχθεῖσα ἐμβάλλεται εἰς φυλακήν· καὶ μετὰ δύο χρόνους ἐκβληθεῖσα καὶ μὴ πεισθεῖσα θῦσαι τοῖς εἰδώλοις ἐμβάλλεται ἐν ἀγγείῳ τινὶ καὶ ῥίπτεται ἐν τῇ λίμνῃ Νικαίας· καὶ οὕτως παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ. — **Cd** : 2. 4. 6. 5. — **Ce** : 2. 5. — **Cg** : 2. 4. 6. 5. — **R** : 2. 4. 5 : Μαρκέλλου καὶ Ἀντωνίνης, Σιλβέστρου καὶ Σωφρονίου. — **Ra** : 2. 3. — **Rb** : deest. — **Rc** : 2. — Ματρώνης. Αὕτη γέγονε γονέων εὐσεβῶν καὶ πλουσίων. Ἐκ βρέφους δὲ τῷ Θεῷ

Mart. 1. τὴν ὄψιν δεινὸν βρύχειν καὶ καταβοᾶν, ὡς ἀδικούμενον, εἰ ταύτην ἀφαιρεθείη. Διανείμασα δὲ τὸν πλοῦτον αὐτῆς καὶ διαδιδοῦσα πτωχοῖς, ἄπεισιν ἐν μοναστηρίῳ καὶ καλῶς τὸν δρόμον τῆς ἀσκήσεως διερχομένη, προσάγεται Αὐρηλιανῷ[9] τῆς βασιλείας κρατήσαντι, ὑπὸ τῶν πρώην διαβληθεῖσα[10] ἐραστῶν. Θαυματουργήσασα δὲ καὶ τὸν τοῦ βασιλέως παῖδα[11] ἐγείρασα, πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπισπᾶται τὸν βασιλέα. Χρόνοις δὲ ὕστερον ἐξετάζεται παρὰ τοῦ[12] Διογένους τοῦ ἡγεμόνος Ἡλιουπόλεως· καὶ θαυματουργήσασα πάλιν ἀφίεται. Ὑπὸ δὲ Βικεντίου διαδεξαμένου τὸν Διογένην ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Δομνίνας[1]. Αὕτη γέγονεν γονέων[2] εὐσεβῶν καὶ πλουσίων. Ἐκ βρέφους δὲ τῷ Θεῷ ἑαυτὴν ἀναθεῖσα, ἀσκήσει καὶ τῇ λοιπῇ κακουχίᾳ τοῦ σώματος ἑαυτὴν ἐξέδωκε. Καλύβην γὰρ πηξαμένη παρὰ τῷ τῆς μητρὸς κήπῳ, ἐν ἐκείνῃ διημέρευε, δάκρυσι διηνεκέσιν οὐ μόνον τὰς παρειὰς καταβρέχουσα, ἀλλὰ καὶ τὰ ἐκ[3] τριχῶν περιβλήματα· τοιοῖσδε γὰρ ἐχρῆτο ἐσθήμασι. Περὶ δὲ[4] ἀλεκτρυόνων ᾠδὰς εἰς τὸν θεῖον ναὸν εἰσιοῦσα μετὰ τοῦ πλήθους παντός[5], τῷ δεσπότῃ Θεῷ προσέφερε τὴν ὑμνῳδίαν[6]. Τροφὴν δὲ εἶχε φακὸν βρεχομένην[7] ὕδατι· καὶ τοῦτον ἅπαντα ὑπομείνασα τὸν πόνον[8], σώματι λεπτῷ καὶ ἡμιθνήτῳ χρωμένη, ἀκριβῶς δὲ τῷ περιβολαίῳ κατακαλυπτομένη, οὔτε τινὸς τεθέατο πρόσωπον[9], οὔτε τις τὸ αὐτῆς· ἀλλὰ μέχρι τῶν γονάτων καλυπτομένη[10] λεπτὰ καὶ ἄσημα τοῖς προστυχοῦσι διελέγετο. Ἐν τούτοις διημερεύουσά τε καὶ[11] διανυκτερεύουσα, πρὸς τὸν αὐτῆς[12] ἐραστὴν καὶ νυμφίον Χριστὸν μετὰ[13] τῶν τῆς ἀρετῆς φορτίων ἀναφέρεται.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Νέστορος καὶ Τριβιμίου. Οὗτοι χώρας μὲν ὑπῆρχον τῶν Κιβυρ|ραιωτῶν, πόλεως δὲ Πέργης. (f. 172) Ἐπὶ δὲ τῆς βασιλείας Δεκίου τοῦ δυσσεβοῦς παρὰ τῶν εἰδωλολατρῶν προδοθέντες τῷ τῆς χώρας ἄρχοντι ὡς τὸν Χριστὸν κηρύττοντες, γυμνωθέντες ἐτύφθησαν βουνεύροις ξηροῖς· εἶτα κρεμασθέντες ἐξέσθησαν ἄχρι καὶ τῶν σπλάγχνων αὐτῶν. Ἐπεὶ δὲ ἀμεταθέτως τῆς γνώμης εἶχον, μαχαίραις τὰς κεφαλὰς ἀποτέμνονται.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις[1] τῆς ἁγίας μάρτυρος Ἀντωνίνης. Αὕτη ὑπῆρχεν ἐκ πόλεως Νικαίας, ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ. Οὗ κατενώπιον παραστᾶσα καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσασα, πρῶτον μὲν διαφόροις βασάνοις ὑποβάλλεται καὶ τῇ φυλακῇ παραπέμπεται· κἀκεῖθεν ἐξαχθεῖσα καὶ μὴ πειθομένη θύειν τοῖς εἰδώλοις[2], κρεμᾶται καὶ τὰς πλευρὰς ξέεται[3]. Ἐν τούτοις δὲ οὖσα[4] κατεμυκτήριζε τοὺς θεοὺς καὶ τὴν πλάνην τοῦ βασιλέως· διὰ ταῦτα τοῖς δημίοις αὖθις[5] ἐκδίδοται, ὥστε ἐκδυθῆναι καὶ τυφθῆναι σφοδρῶς. Μελλόντων δὲ αὐτῆς[6] ἅπτεσθαι, ἄγγελοι ἐξ οὐρανοῦ κατιόντες τοὺς μὲν δημίους[7] σφοδρῶς πλήξαντες ἀπώσαντο, αὐτὴν δὲ[8] ἀβλαβῆ διεσώσαντο. Εἶτα ἁπλωθεῖσα ἐπὶ ἐσχάρας πεπυρακτωμένης καὶ διαμείνασα ἀβλαβής, ἐμβάλλεται εἰς σάκκον καὶ εἰς τὴν λίμνην Νικαίας ἀπορρίπτεται· καὶ οὕτως τελειοῦται.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Μαρκέλλου, Ἀντωνίνου, Σιλβέστρου καὶ Σωφρονίου.

7. Καὶ τῶν ἁγίων μαρτύρων Χαρησίου, Νικηφόρου καὶ Ἀγαπίου.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

Mart. 2. 1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κοΐντου τοῦ θαυματουργοῦ. Οὗτος γεγένηται μὲν καὶ πεπαίδευται τὴν εὐσέβειαν ἐν Φρυγίᾳ· καταλαβὼν δὲ τὴν Αἰολίδα[1] κώμην, ἔλεον τοῖς δεομένοις παρεῖχε. Κατὰ δὲ τοὺς καιροὺς Αὐρηλιανοῦ[2] τοῦ βασιλέως, ὁ ἡγεμὼν Ῥοῦφος παραινῶν αὐτῷ[3] θῦσαι τοῖς

— [9] Αὐριλιανῷ S, Ἀβριλιανῷ Mc. — [10] διαβληθεῖσα ὑπὸ τῶν πρώην αὐτῆς Mc. — [11] τεθνηκότα *add.* Mc. — [12] *om.* Mc.
3. — [1] Δομνήνας S, τῆς νέας *add.* Mc. — [2] ἥτις γονέων γέγονεν Mc. — [3] τῶν *add.* Mc. — [4] τὰς *add.* Mc. — [5] παντὸς τοῦ πλ. Mc. — [6] τ. ὑ. προσέφερε Mc. — [7] βρεχόμενον Mc. — [8] τ. π. ὑπ. Mc. — [9] τὸ πρόσωπον ἐθεάσατο Mc. — [10] καπτομένη Mc. — [11] δ. τ. καὶ *om.* Mc. — [12] πρὸς αὐτὸν τὸν Mc. — [13] καὶ *add.* Mc.
5. — [1] μνήμη Mc. — [2] πεισθεῖσα τοῖς εἰδ. θῦσαι Mc. — [3] ξ. τ. π. Mc. — [4] οὖσα δὲ Mc. — [5] *om.* Mc, οις αὖθις S. — [6] Mc, αὖθις S. — [7] Mc, δεσμίους S. — [8] τὴν δὲ ἁγίαν Mc.
1. — [1] Αἰωλίδα S. — [2] Αὐριλιανοῦ S, Ἀβριλιανοῦ Mc. — [3] αὐτὸν Mc.

---

Mart. 1. ἑαυτὴν ἀναθήσασα, ἀσκήσει καὶ λοιπῇ κακουχίᾳ τοῦ σώματος ἑαυτὴν ἐξέδωκε· καλύβην γὰρ πηξαμένη παρὰ τῷ τῆς μητρὸς κήπῳ, ἐν ἐκείνῃ διημέρευεν, δάκρυσι διηνεκέσι οὐ μόνον τὰς παρειὰς καταβρέχουσα, ἀλλὰ καὶ τὰ ἐκ τῶν τριχῶν περιβλήματα· τοιοῖσδε γὰρ ἐσθήμασιν ἐχρῆτο. Περὶ δὲ ἀλεκτρυόνων[1] ᾠδὰς εἰς τὸν θεῖον ναὸν εἰσιοῦσα μετὰ τοῦ πλήθους παντὸς προσέφερε τὴν ὑμνῳδίαν· τροφὴν δὲ εἶχε φακὸν βρεχομένην ὕδατι. Καὶ τοῦτον ἅπαντα ὑπομείνασα τὸν πόνον σώματι λεπτῷ καὶ ἡμιθνήτῳ χρωμένη, οὔτε τινὸς τεθέατο πρόσωπον οὔτε τις τὸ ἑαυτῆς, ἀλλὰ μέχρι τῶν γονάτων καμπτομένη, λεπτὰ καὶ ἄσημα τοῖς προστυχοῦσι φθεγγομένη, ἐν τούτοις διημερεύουσά τε καὶ διανυκτερεύουσα, πρὸς τὸν ἐραστὴν αὐτῆς καὶ νυμφίον Χριστὸν μετὰ τὸ τῆς ἀρετῆς φορτίον ἀναφέρεται. — 5. — **Mc** : 1. 2. 3. 5. 6 : Μάρκελλος καὶ Ἀντώνιος π. τ. — Οἱ ἅγιοι Σίλβεστρος καὶ Σωφρόνιος ξ. τ. — 4 : Ὁ ἅγιος Νεστοριανὸς ξ. τ. — **Mv** : 2. 3. 5. 6. 4 : Νεστόριος ξ. τ. — **Mr** : 2.

Mart. 2. SYNAXARIA SELECTA. **H** : Πορφυρίου ἐπισκόπου Γάζης (Feb. 26[1]). — 2. — **P** : Πορφυρίου. — 2. 3. 4. 5. — **D** : 6. 2. 3. 5. — **Da** : 6. 1. 2. 3. 4. 5. — Πορφυρίου. — 7. — **Db** : 6. 1. 2. 3. 4. 5. — Πορφυρίου. — 7 (... Θεοδωρήτου ἐπισκόπου Ἀντιοχείας). — **K** : deest. — **N** : 6. 5. 1. — **Bb** : 5. 6. 1. — **Bc** : Ἀντωνίνης (Mart. 1[5]). — 5. 1. 4. 2. — Πορφυρίου. — 7. 6. — **C** : 5. — Πορφυρίου ἐπισκόπου

[1] ἀλεκριόνων Rc.



εἰδώλοις, ἐπεὶ ληφθεὶς δαίμονι, εὐξαμένου τοῦ ἁγίου, ἰάθη, ἀφῆκεν αὐτὸν δώροις τῆς εὐεργεσίας ἀμειψάμενος. Αὖθις δὲ οἱ ἐν Κύμῃ[4] ἕλληνες πικρῶς αὐτὸν βασανίζοντες ἐν τῷ ναῷ τῶν εἰδώλων, ἐπεὶ σεισμοῦ γενομένου ὅ τε ναὸς καὶ τὰ ἐν αὐτῷ κατέπεσον ξόανα, φυγόντες[5] κατέλιπον τὸν ἅγιον. Μετὰ οὖν τὸν σεισμὸν τεσσαράκοντα διαγενομένων ἡμερῶν, καταλαβὼν ὁ ἄρχων Κλέαρχος δεισιδαίμων ὢν καὶ περὶ τὴν θρησκείαν τῶν εἰδώλων ἐπτοημένος, κατεαγῆναι τὰ σκέλη τοῦ ἁγίου προσέταξεν· ἃ παραυτίκα ἄρτια καὶ ὑγιᾶ[6] τῇ τοῦ Χριστοῦ δυνάμει κατέστησαν. Δεκάτου δὲ διαγενομένου χρόνου μετὰ τῶν σκελῶν | αὐτοῦ συντριβήν, (f. 172v) ἐν ᾧ περιῄει πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενος καὶ τοῖς πτωχοῖς ἐπαρκῶν, πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Τρωαδίου καὶ τῆς συνοδίας αὐτοῦ, μαρτυρήσαντος[1] ἐπὶ Δεκίου τοῦ βασιλέως.

3. Καὶ τῆς ἁγίας μάρτυρος Εὐθαλίας.

4. Καὶ κοίμησις τῶν ἁγίων Ἀνδρονίκου καὶ Ἀθανασίας.

5. Καὶ τοῦ ἁγίου ἀποστόλου Παρμενᾶ ἑνὸς τῶν ἑπτὰ διακόνων. Οὗτος μαθητὴς ἐγένετο τῶν ἁγίων ἀποστόλων καὶ τοῖς ἑβδομήκοντα συνηρίθμητο, ἐξελέγη δὲ[1] σὺν τοῖς[2] ἄλλοις ἓξ διακόνοις. Καὶ προεχειρίσθη εἰς τὸ διακονεῖν ταῖς τραπέζαις τῶν προσερχομένων τῷ Χριστῷ καὶ βαπτιζομένων, καθὼς καὶ ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων ὁ ἅγιος Λουκᾶς γράφει λέγων· « Καὶ ἐξελέξαντο δηλονότι οἱ ἅγιοι ἀπόστολοι Στέ- (Act. 6, 5.)
» φανον ἄνδρα πλήρη πίστεως <καὶ[3]> Πνεύματος
» ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον[4] καὶ Νικά-
» νορα καὶ Τίμωνα καὶ Παρμενᾶν. » Διακονῶν οὖν καὶ ταῖς χρείαις ὑπηρετῶν τῶν ἁγίων π στῶς τε καὶ θεοφιλῶς, Θεῷ τε καὶ τοῖς αὐτοῦ μαθηταῖς εὐάρεστος ἦν· εἶτα νοσήσας ἐπ' ὄψεσι τῶν ἁγίων ἀποστόλων τέλει τοῦ βίου ἐχρήσατο.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδότου ἐπισκόπου Κυρηνίας τῆς Κύπρου. Οὗτος ὑπῆρχεν ἐπὶ Λικινίου[1] βασιλέως καὶ Σαβίνου ἡγεμόνος Κύπρου. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν τῷ ἡγεμόνι παραστὰς τύπτεται βουνεύροις· εἶτα κρεμᾶται καὶ τὰς σάρκας ξέεται καὶ ἐπὶ πυρωθέντος σιδηροῦ κραββάτου[2] ἁπλοῦται καὶ ῥυσθεὶς τοῦ πυρὸς ἥλοις τοὺς πόδας ἐμπείρεται καὶ τρέχειν ἀναγκάζεται. Βληθεὶς δὲ ἐν τῇ φυλακῇ, ἐπεί, παυσαμένου τοῦ διωγμοῦ[3] ἀφείθη, κατὰ τὴν ἐννεακαιδεκάτην[4] Ἰαννουαρίου[5] τὴν μνήμην αὐτοῦ ἑορτάζομεν. Διαγενομένων δὲ χρόνων δύο, πρὸς Κύριον ἐξεδήμησε, μαρτίου δευτέρᾳ[6]· διὸ καὶ[7] πάλιν ἑορταστέον.

7. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδωρήτου πρεσβυτέρου Ἀντιοχείας.

— [4] τῷ ναῷ Mc. — [5] ἐκφυγόντες Mc. — [6] ὑγιῆ Mc.
2. — [1] καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων Mc.
5. — [1] γὰρ Mc. — [2] *corr.; prius* ταῖς S. — [3] *om.* S. — [4] καὶ Τίμωνα *hic add.* Mc.
6. — [1] Λικιννίου S. — [2] κραμββάτου S. — [3] ἐπαύθη ὁ διωγμὸς Mc. — [4] ἐννακαιδεκάτην S. — [5] μηνὸς *add.* Mc. — [6] τῇ δευτέρᾳ τοῦ μαρτίου Mc. — [7] *om.* Mc.

---

Γάζης[1]. Οὗτος ὑπῆρχεν ἐκ τῆς πόλεως Θεσσαλονίκης, υἱὸς πλουσίων καὶ εὐγενῶν γονέων. Ἐπὶ δὲ τῆς βασιλείας Ἀρκαδίου καὶ Ὀνωρίου[2] καταλιπὼν τὴν Θεσσαλονίκην καὶ ἀπελθὼν εἰς Αἴγυπτον, ἐν τοῖς μοναστηρίοις τῆς Σκήτης γέγονε μοναχός. Μετὰ δὲ πέμπτον χρόνον ἀπῆλθεν εἰς Ἱεροσόλυμα· καὶ ἦν ἐλέγχων ἰουδαίους καὶ ἕλληνας καὶ αἱρετικοὺς λόγῳ ἰσχυρῷ. Ἠργάζετο δὲ τὴν σκυτοτομικὴν τέχνην καὶ διετρέφετο· διὰ δὲ τὴν αὐτοῦ ἀρετὴν χειροτονεῖται πρεσβύτερος ὑπὸ Πραϋλίου πατριάρχου Ἱεροσολύμων, εἶτα ἐπίσκοπος Γάζης ὑπὸ Ἰωάννου ἀρχιεπισκόπου Καισαρείας τῆς Παλαιστίνης, τῶν Γαζαίων[3] ζητησάντων αὐτόν· ἔνθα πολλὰ θαύματα ἐπιτελέσας καὶ πολλοὺς ἐπιστρέψας πρὸς θεογνωσίαν ἀπὸ τῶν εἰδώλων, ἦλθεν εἰς Κωνσταντινούπολιν, τοὺς πιστοὺς ἀδικουμένους ὁρῶν ὑπὸ τῶν κρατούντων τῆς χώρας, καὶ ἐντυχὼν τῷ βασιλεῖ Ἀρκαδίῳ ἐξαιτεῖται τῶν εἰδωλικῶν ναῶν τὴν καταστροφήν· καὶ τοὺς μὲν ἄλλους πάντας καταβαλών, τὸν δὲ μέγιστον παρ' αὐτοῖς, ὅστις ἐκαλεῖτο Μαρνεῖον, πυρὶ κατακαύσας, ἀνήγειρεν ἐκκλησίαν κατὰ τὸ σχῆμα ὃ διετάξατο ἡ βασίλισσα Εὐδοξία, πολλὴν χρημάτων δαπάνην αὐτῷ παρασχοῦσα. Διαπρέψας οὖν ἐν τῇ τοιαύτῃ ἐκκλησίᾳ καὶ πολλὰ θαύματα ποιήσας, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν. — 2. 3. 4. — **Cd** : 5. — Πορφυρίου. — 2. 3. 4. — **Ce** : 5. — Πορφυρίου. — **Cg** : 5. — Πορφυρίου. — 2. 3. 4. — **R** : 6. 1. 2. 3 (Εὐστολίας). — **Ra** : 1. 6. 5. 3. 2. 4. 7. — **Rb** : deest. — **Rc** : Νέστορος ἐπισκόπου καὶ Τριβιμίου διακόνου. Οἵτινες ὑπῆρχον ἐπὶ Δεκίου βασιλέως καὶ Πουπλίου ἡγεμόνος. Ὁ δὲ μακάριος Νέστωρ ἦν ἐκ Πέργης τῆς Παμφυλίας· καὶ συλληφθεὶς ὡμολόγησε τὴν πίστιν παρρησίᾳ ἐπὶ ἄρχοντος Εἰρηνάρχου. Τοῦ οὖν ἄρχοντος τῷ ἡγεμόνι ἐμφανίσαντος τὴν ἀναφορὰν τοῦ βουλευτηρίου καὶ ἀναδείξαντος τὰ περὶ πίστεως αὐτοῦ, ἀναγκασθεὶς θῦσαι ἔφη· « Εἰ καὶ τὸ σῶμά μου πολυπλόκοις βασάνοις καὶ πυρὶ ἀναλώσῃς, οὐ μὴ ἀρνήσομαι τὸ ὄνομα τοῦ Θεοῦ » μου. » Διὸ κρεμασθεὶς σπαθίζεται· καὶ ἐρωτηθείς, τί ἄρα αἱρεῖται, συνεῖναι τῷ Χριστῷ ἢ τοῖς ἕλλησιν, μετὰ χαρᾶς ἔφη· « Μετὰ τοῦ Χριστοῦ μου καὶ ἤμην καί εἰμι καὶ ἔσομαι. » Σταυρῷ οὖν καθηλωθεὶς ἐνουθέτει τοὺς παρεστῶτας χριστιανοὺς λέγων· « Τεκνία μου, παρακαλῶ ὑμᾶς, ἀνεξάρνητος ἔσται ἡ ὁμολογία ὑμῶν ἡ πρὸς τὸν Χριστόν· μὴ ἀρνησώμεθα τὸν δι' ἡμᾶς παθόντα. » Καὶ εὐξάμενος καὶ τὸ ἀμὴν ἀναπέμψας ἀπέδωκε τῷ Θεῷ τὴν ψυχήν (Mart. 1[4]). — 5. 3. 1. 2. 4. 7. — **Mc** : 1. — Νέστορος καὶ[4] Τριβιμίου. — 6. 5. 2. 3 : ἡ ἁγία παρθένος Ἀθαλλία ξ. τ. — 4. — **Mv** : 6. 1. — Νέστορος καὶ Τριβιμίου. — 5. 2. 3. 4. — **Mr** : 6.

[1] ἄφες αὐτό· τοῦτο τὸ συναξάριον τοῦ ἁγίου Πορφυρίου λέγεται φευρουαρίῳ εἰς τὰς κϛ' *in marg.* C. — [2] Ὀνουρίου C. — [3] Γαζέων C. — [4] τοῦ Mv.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

Mart. 3.

**1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους [1] Μαξιμιανοῦ, συστρατιῶται [2] καὶ συγγενεῖς τοῦ ἁγίου μάρτυρος Θεοδώρου, ἐκ τῆς Καππαδοκῶν ὄντες χώρας. Παρίστανται οὖν Ἀσκληπιοδότῳ τῷ ἡγεμόνι, καὶ τύπτονται ἀφειδῶς. Ὁ δὲ ἅγιος Εὐτρόπιος καὶ κατὰ τοῦ στόματος λαμβάνει πληγάς, ὅτι [3] εἰς τὸν ἡγεμόνα ἐξύβρισεν· ἔνθα οἱ μὲν τύπτοντες ἐξελύθησαν διὰ τὸ σύντονον τῆς βασάνου. Οἱ δὲ ἅγιοι μάρτυρες, ἐπιφανέντος αὐτοῖς τοῦ Κυρίου καὶ τοῦ ἐνδόξου μάρτυρος Θεοδώρου, γεγόνασιν ὑγιεῖς· ἐπὶ [4] οὖν τῇ παραδοξοποιΐᾳ ταύτῃ πολλοὶ πιστεύσαντες τῷ Χριστῷ τὴν διὰ ξίφους δέχονται τελευτήν. Μεταβαλλομένου οὖν τοῦ ἡγεμόνος | καὶ κολακείαις πειρῶντος [5] τὸν ἅγιον Κλεόνικον μεταθέσθαι ἀπὸ τῆς Χριστοῦ πίστεως καὶ δῶρα ὑπισχνουμένου, τὰ δὲ καὶ διδόντος, οὐδέν τι μᾶλλον ὁ ἅγιος μαλακισθείς, ἀλλὰ παροξυνθείς, κατεγέλασε μὲν τῆς ἀνοίας τοῦ ἡγεμόνος, κατεχλεύασε δὲ τὴν τῶν εἰδώλων ἀσθένειαν. Ὅθεν θυσίας αὐτοῖς [6] ἐπιτελουμένης, διὰ προσευχῆς τὸ ξόανον κατέβαλον [7] τῆς Ἀρτέμιδος. Ἐκκαεῖσαν οὖν πίσσαν καὶ ἄσφαλτον [8] ἐν τρισὶ λέβησι κατέχεον ἐπ' αὐτούς· καὶ αὐτοὶ μὲν σῶοι f. 173.

1. — [1] καιροὺς D. — [2] βασιλέως στρατιῶται D. — [3] ὁ S. — [4] ἐπεὶ S, D. — [5] πειρομένου *corr.*; *prius* πειρόντος D. — [6] αὐτῆς S. — [7] κατέβαλλον S, κατέβαλε *corr.* D. — [8] ἀσφάλτου D.

---

Mart. 3.

SYNAXARIA SELECTA. **H** : 1. 3. 4. 5. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : deest. — **N** : 1. — Ἀρχελάου, Κυρίλλου καὶ Φωτίου (Mart. 4[1]). — **Bb** : 1. — Παύλου καὶ Ἰουλιανῆς (Mart. 4[2]). — **Bc**: 1. — **C**: 1. — **Cd**: 1 (Εὐτροπίου, Κλεονίκου καὶ Ἀθανασίας). — **Ce** : 1. — **Cg** : 1. — **R**: 1. — **Ra**: 1. — **Rb** : deest. — **Rc** : 1. — **Mc** : 1. — Θεοδωρήτου [1] πρεσβυτέρου Ἀντιοχείας. Ἰουλιανός, ὁ θεῖος τοῦ δυσσεβοῦς καὶ ἀθέου Ἰουλιανοῦ τοῦ παραβάτου, πρώην μὲν χριστιανὸς ὢν καὶ πιστὸς τοῦ Θεοῦ θεράπων καὶ ἀναγνώστης τῆς ἐν Ἀντιοχείᾳ μεγάλης ἐκκλησίας, πεισθεὶς τῷ δυσσεβεῖ βασιλεῖ Ἰουλιανῷ καὶ ἀνεψιῷ αὐτοῦ, οὐ τὴν εἰς Χριστὸν πίστιν μόνον ἠρνήσατο προσκυνῶν τοῖς εἰδώλοις, ἀλλὰ καὶ πάντα τὸν πλοῦτον τῆς μεγάλης ἐκκλησίας ἐκφορήσας, ὅσον ὁ μέγας βασιλεὺς Κωνσταντῖνος διὰ ἀναθημάτων ἱερῶν τῇ ἐκκλησίᾳ προσαφώρισε, προδέδωκεν ὁ δυσσεβὴς τῷ τυράννῳ, ὑπ' αὐτοῦ αὐτὸς διώκτης καὶ τύραννος ἐκεῖσε προχειρισθείς. Τότε ὁ ἀλιτήριος ἐκεῖνος τὸν τῆς ἐκκλησίας κλῆρον διασκορπίσας, ἔμεινεν ὁ ἅγιος Θεοδώρητος οὗτος μόνος μεθ' ἑτέρων χριστιανῶν παρρησιαζόμενος ἐν τῇ εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστει καὶ ὁμολογίᾳ· ὃν καὶ κρατήσας καθεῖρξεν ἀσφαλῶς. Καὶ παραστησάμενος πρῶτον μὲν τοὺς πόδας προσέταξε τύπτεσθαι, εἶτα τὴν κεφαλὴν αὐτοῦ· καὶ ἀποδύσας [2] αὐτὸν ἐκρέμασεν ἐπὶ ξύλου καὶ προσέταξεν εὐτόνως ξέεσθαι. Ξεομένου δὲ αὐτοῦ τοῦ μακαρίου ἐπὶ ὥραις τρισί, τὸ μὲν αἷμα κρουνηδὸν ἐχεῖτο, τὸ δὲ πρόσωπον αὐτοῦ διαυγέστερον ἦν. Ὡς δὲ καί· « Θῦσον, ἄθλιε, τοῖς θεοῖς » ἤκουε τοῦ δυσσεβοῦς λέγοντος καί· « Εἰ χρεωστεῖς τῷ βασιλικῷ ταμιείῳ ἢ ἑτέρῳ τινί, ὁ βασιλεὺς ἀπαλλάξει σε πάντως τοῦ χρέους καὶ μὴ οὕτω κακῶς τὴν ψυχήν σου ἀπορρήξῃς, » φησὶν ὁ ἅγιος· « Σὺ εἶ, ταλαίπωρε, ἄθλιος καὶ ὁ βασιλεύς σου, ὅτι ἐάσαντες τὸν Χριστὸν [3] προσεκολλήθητε τῷ ἀντιχρίστῳ καὶ χρεωστεῖτε ὑπέκκαυμα γενέσθαι τοῦ αἰωνίου πυρός. Ἐγὼ δὲ οὐ χρεωστῶ τινι εἰ μὴ τῷ κυρίῳ μου Ἰησοῦ Χριστῷ τὴν ἀληθινὴν πίστιν μέχρις ἐσχάτης ἀναπνοῆς. » Τούτων ἀκούσας ὁ ἐναγὴς καὶ θεομισὴς τύραννος λαμπάδας πυρὸς δύο προσέταξε τεθῆναι ταῖς τοῦ ἁγίου πλευραῖς. Καὶ αἱ μὲν λαμπάδες ἤδη εἶχον τὰς τούτου πλευράς· ὁ δὲ τὸ ὄμμα εἰς τὸν οὐρανὸν ἀνατείνας, προσηύχετο ὑποψιθυρίζων, καὶ εὐθέως οἱ τὰς λαμπάδας κατέχοντες ἔπεσον χαμαὶ ὡσεὶ νεκροί. Ταρασσομένου δὲ τοῦ Ἰουλιανοῦ καὶ τῶν σὺν αὐτῷ καὶ μετὰ σπουδῆς ἀναστησάντων αὐτοὺς καί· « Τρισκατάρατοι, λεγόντων, ἀφέντες κατακαίειν τὸν δυσσεβῆ καὶ πανάθλιον νυσταγμῷ καὶ ἀμελείᾳ κατεσχέθητε », οἱ στρατιῶται· « Σὺ εἶ δυσσεβὴς καὶ τρισκατάρατος καὶ πεπηρωμένος τὰς ὄψεις, ὅτι οὐχ ὁρᾷς τοὺς φυλάττοντας τὸν δοῦλον τοῦ Θεοῦ τέσσαρας ἀγγέλους καὶ κωλύοντας ἡμᾶς προσεγγίσαι αὐτῷ. Μὴ οὖν μωρολογῇς· μέγας γάρ ἐστιν ὁ Θεὸς τῶν χριστιανῶν. » Ὁ γοῦν τύραννος αἰσχυνθεὶς ποντωθῆναι αὐτοὺς ἐν τῷ πελάγει τῆς θαλάσσης ἐκέλευσεν. Ἀπαγομένων δὲ αὐτῶν, ὁ μακάριος πρὸς αὐτούς· « Πορεύεσθε, τεκνία μου, τὴν μακαρίαν ὁδόν, ἔφησεν, ἐν εἰρήνῃ· ἐλεύσομαι γὰρ κἀγὼ ἀκολούθως ὑμῖν καὶ συγχαρήσομαι μεθ' ὑμῶν χαρὰν τὴν αἰώνιον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. » Καὶ οὗτοι μὲν τοιόνδε τὸ τῆς μαρτυρίας τέλος ἐδέξαντο. Ὁ δὲ ἅγιος Θεοδώρητος, ὡς ἦν διόλου ἐπικείμενος αὐτῷ ὁ Ἰουλιανὸς καὶ ἀναγκάζων θῦσαι τοῖς εἰδώλοις· « Σὺ μέν, δυσσεβέστατε καὶ ἀθλιώτατε, φησί, πάντων τῶν κατὰ σὲ τὰ ἴδια ἔγκατα καταμασησάμενος, μετ' ὀλίγας ἡμέρας τὴν μιαράν σου ψυχὴν βιαίως ἀπορρήξεις, τῷ αἰωνίῳ πυρὶ ταύτην παραπέμπων. Ὁ δὲ δυσσεβέστερός σου τύραννος ἐν τῇ Περσικῇ γῇ καὶ αὐτὸς οὐρανίᾳ λόγχῃ πληγεὶς εἰς τὴν γέενναν τοῦ πυρὸς ἀκοντισθήσεται καὶ οὐχ ὑποστρέψει. Καὶ ταῦτα μέν, ἀθλιώτατε, τὰ ἐπίχειρα τῶν ἔργων ὑμῶν· ἐγὼ δὲ θύσω τῷ Θεῷ μου θυσίαν αἰνέσεως. » Οὕτως εἶπε καὶ παραυτίκα τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι προσέταξεν. Ἐν ὅσῳ δὲ πρὸς τὸν προκείμενον ἐπορεύετο τόπον, προσηύχετο ἐν φαιδρότητι ψυχῆς· καὶ ἀποτμηθεὶς τὴν κάραν ἀνῆλθεν εἰς τὸν Θεόν. Τούτου τὸ ἅγιον λείψανον πιστοί τινες ἀξίως κηδεύσαντες ἐσημειώσαντο τὰ ὑπὸ τοῦ μακαρίου ἐκφωνηθέντα· καὶ δι' ὀλίγων ἡμερῶν, καθὼς ὁ ἅγιος προεῖπεν, οἱ δύο Ἰουλιανοὶ κακῶς τοῦ ζῆν ἀπηλλάγησαν τῷ αἰωνίῳ

[1] Θεοδωρίτου Mc. — [2] ἀποδήσας Mc. — [3] τῷ Χριστῷ Mc.



διεφυλάχθησαν [9]. Εἶτα σταυροῦνται [10] ὁ Εὐτρόπιος καὶ ὁ Κλεόνικος· ὁ δὲ ἅγιος Βασιλίσκος ἐν τῇ φρουρᾷ τεθεὶς μετὰ χρόνον [11] ἐν αὐτῇ τελειοῦται μαΐου κβ' [12]. Mart. 3.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

Mart. 4.

**1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἡσυχίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, πρῶτος τοῦ παλατίου [1] τυγχάνων. Προστάξαντος δὲ τοῦ Μαξιμιανοῦ [2] τοὺς ἐν στρατείᾳ χριστιανοὺς λύσαντας τὰς ζώνας ἰδιωτεύειν, καὶ πολλῶν τὸν ἀκλεῆ [3] μᾶλλον ἑλομένων βίον ἢ τὴν ἐν ἀπωλείᾳ τιμήν, μεθ' ὧν ἦν καὶ ὁ ἅγιος Ἡσύχιος, καὶ τούτου μὴ λαθόντος [4] τὸν βασιλέα, ἐκέλευσεν αὐτὸν ἀποδυθῆναι μὲν τὰ ἱμάτια ἃ περιβέβλητο [5] ὄντα πολυτελῆ, ἐνδυθῆναι δὲ κολόβιον ἐξ ἐρίου καὶ μετὰ τῶν γυναικῶν συνδιάγειν [6]. Καὶ τούτου γενομένου, προσκαλεσάμενος αὐτὸν ὁ βασιλεύς, εἰ οὐκ αἰσχύνεται ἐπυνθάνετο, ἐκ τῆς τῶν μαγίστρων τιμῆς εἰς τὴν ἄτιμον ταύτην κατενεχθεὶς ἀγωγήν [7]· μὴ δὲ γὰρ δύνασθαι τοὺς χριστιανοὺς ἐπὶ ταῖς πρότερον μεγίσταις οὕτω τιμαῖς [8] καὶ ἀρχαῖς καταστῆσαι αὐτόν. Τοῦ δὲ τὴν παροῦσαν τιμὴν πρόσκαιρον εἶναι εἰπόντος [9], τὴν δὲ τοῦ Χριστοῦ αἰώνιον καὶ ἀπέραντον, λίθον μυλικὸν δεθῆναι τῷ τραχήλῳ αὐτοῦ ὁ βασιλεὺς [10] προσέταξε, καὶ μέσον τοῦ ποταμοῦ τοῦ οὕτω λεγομένου Ὀρόντου [11] ῥιφῆναι, ἐν ᾧ τὸ μακάριον ἐδέξατο τέλος [12].

**2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Παύλου καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ Αὐρηλιανοῦ [1] τοῦ βασιλέως ἐν Πτολεμαΐδι· ἐτύγχανον δὲ ἀδελφοὶ κατὰ σάρκα, γονέων εὐσεβῶν γέννημα. Καὶ ὁ μὲν Παῦλος τὰς ἱερὰς βίβλους ὑπαναγινώσκων [2] τῷ λαῷ, διαβάλλεται ὡς χριστιανὸς καὶ τῷ βασιλεῖ παρίσταται. Διελέγξας δὲ τῶν εἰδώλων τὴν ματαιότητα, ἀναρτηθεὶς ξέεται. Ἡ δὲ Ἰουλιανὴ τὸν ἀδελφὸν ἰδοῦσα ξεόμενον, κατεβόα τοῦ τυράννου. Συλληφθεῖσα οὖν καὶ αὐτὴ δεσμεῖται, καὶ εἱρκτῇ ἀμφότεροι βάλλονται [3] καὶ ἐπὶ κλίνης σιδηρᾶς πεπυρακτωμένης ἁπλοῦνται, καὶ τοὺς νώτους ἄνωθεν τύπτονται. Ἔνθα Κοδράτος καὶ Ἀκάκιος οἱ δήμιοι τῶν ἁγίων φεισάμενοι, τὰς κεφαλὰς ἀφαιροῦνται [4]. Διαληφθέντες δὲ δεσμοῖς σιδηροῖς ἐν εἱρκτῇ βάλλονται | καὶ ἀγγέλου ἐπιφανείᾳ λυθέντες καὶ τροφῆς κορεσθέντες, αὖθις παρίστανται τῷ βασιλεῖ. Ἐκκαλουμένου δὲ [5] ἑνὸς τῶν δημίων τὴν ἁγίαν Ἰουλιανὴν κατοικτείραντος καὶ τῷ Χριστῷ πιστεύσαντος, μανεὶς ὁ τύραννος τὴν κεφαλὴν ἀποτέμνει. Ὅθεν ἰοβόλοις [6] ἑρπετοῖς οἱ ἅγιοι συναποκλεισθῆναι [7] καταδικάζονται, ἐξ ὧν διαμείναντες ἀβλαβεῖς ὁ μὲν ἅγιος Παῦλος τὰς σιαγόνας μολυβίσι [8] τύπτεται σιδηρῷ πάλῳ προσδεθεὶς καὶ [9] ἑκατέρωθεν ῥάβδοις πεπυρωμένοις αἰκίζεται. Ἡ δὲ ἁγία Ἰουλιανὴ εἰς πορνεῖον ἀπάγεται ὑπὸ ἀσώτων διαφθαρῆναι· οὓς παραγενομένους ἄγγελος ἀπετύφλου. Ἄφθορος δὲ διαμείνασα, αὖθις μετὰ τοῦ ἀδελφοῦ βόθρῳ πυρὸς ἐμβάλλεται· κελεύσαντος δὲ [9] τοῦ τυράννου ἐν αὐτῷ τῷ βόθρῳ τοῦ πυρὸς τούτους λιθοβοληθῆναι, ὤφθη [10] ἄνωθεν νεφέλη πεπληρωμένη φλογός· ἥτις πλησίον αὐτοῦ πυρὸς κατέχεεν ὄμβρους. Ὁ δὲ φοβηθεὶς ἀνήνεγκε τοῦ βόθρου τοὺς ἁγίους καὶ λαμπάσι τὰς ὄψεις αὐτῶν καὶ ὅλον τὸ σῶμα καταφλέξας τὰς κεφαλὰς ἀποτμηθῆναι προσέταξε· καὶ οὕτως οἱ καλλίνικοι τὸν ὑπὲρ τῆς Χριστοῦ μαρτυρίας στέφανον ἀνεδήσαντο [11]. f. 173v.

**3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἡραΐδος.

**4.** Καὶ τῶν ἁγίων μαρτύρων Ἀρχελάου, Κυρίλλου καὶ Φωτίου.

— [9] οἱ δὲ ἐπιχέοντες κατὰ τῶν νώτων αὐτῶν τὴν πίσσαν καὶ τὴν ἄσφαλτον ὑπηρέται κατεφλέχθησαν *add.* D. — [10] *om.* D. — [11] τινα *add.* D. — [12] μαΐου κβ' *om.* D.

1. — [1] ὁ Ἡσύχιος οὗτος ἐπὶ Μ. τοῦ παρανόμου β. τοῦ π. πρῶτος Mc. — [2] τοῦ Μ. προστάξαντος Mc. — [3] πολλῷ τῶν ἁ. S, π. τ. εὐκλεῆ Mc. — [4] λανθάνοντος Mc. — [5] περιεβέβλητο Mc. — [6] διαγεῖν Mc. — [7] βασιλεὺς ἐπυνθάνετο εἰ τὴν ἄτιμον τ. κ. ἀγ. ἐκ τῆς τῶν μαγ. τιμῆς Mc. — [8] τιμαῖς οὕτως Mc. — [9] εἰπόντος εἶναι Mc. — [10] ὁ β. αὐτοῦ Mc. — [11] Ὀρρόντου S, Mc. — [12] τέλος ἐδέξατο Mc.

2. — [1] Ἀβριλιανοῦ Mc. — [2] ὑπ. βίβλους Mc. — [3] κατακλείονται Mc. — [4] καὶ αὐτοὶ τῷ Χριστῷ πιστεύσαντες *add.* Mc. — [5] τούτους πρὸς ἄρνησιν οὐδὲν πλέον ἠνύετο· διὸ καὶ μὴ πεισθέντες τύπτονται σφοδρῶς. Στρατονίκου δέ τινος *add.* Mc. — [6] θηρίοις καὶ *add.* Mc. — [7] ἐναποκλεισθῆναι Mc. — [8] μολυβδίσι Mc. — [9] *om.* Mc. — [10] δὲ *add.* Mc. — [11] ἀνεδύσαντο S.

---

ταμιευθέντες πυρί (Mart. 2[7]). — Ζήνων καὶ Ζωΐλος ἐν εἰρήνῃ τ. — Ἡ ὁσία Πιαμοῦν ἡ παρθένος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Θεοδωρήτου. — Ζήνων καὶ Ζωΐλος. — Πιαμοῦν. — **Mr** : 1. Mart. 3.

Mart. 4.

SYNAXARIA SELECTA. **H** : 3. 4. 5. — **P** : 3. 4. 5. — **D** : 2. 3. 4. 5. — **Da** : 2. — **Db** : 2. — **K** : deest. — **N** : 2. — Μάρκου μοναχοῦ (Mart. 5[1]). — Κόνωνος τοῦ κηπουροῦ (Mart. 5[4]). — 5. — Εὐλαμπίου τοῦ ἐν Παλαιστίνῃ (cf. Mart. 5[2]). — Γρηγορίου (Mart. 5[3]). — 1 (Ἡσυχίου τοῦ μεγάλου ἀσκητοῦ). — **Bb** : 5. — Μάρκου. — **Bc** : 5. — Μάρκου. — 2. — Στρατονίκου τοῦ ἐν Πτολεμαΐδι. — **C** : 3. 4. 2 (in marg. cum hac nota : Ζήτει ὄπισθεν φύλλα γ'). — 5. — **Cd** : 3. 4. 5. — **Ce** : 3. 4. 5. — Τῶν ἁγίων μαρτύρων καὶ ἱεραρχῶν τῶν ἐν Χερσῶνι (Mart. 7[1]). — **Cg** : 3. 4. 5. — **R** : 2. — **Ra** : 1. — Μάρκου. — Εὐλογίου (Mart. 5[2]). — Γρηγορίου (Mart. 5[3]). — Καὶ μνήμη Ἡσυχίου ἀσκητοῦ. — **Rb** : deest. — **Rc** : 2. 5. 4. — **Mc** : 2. — Κοδράτος καὶ Ἀκάκιος καὶ Στρατόνικος οἱ ἀπὸ δημίων πιστεύσαντες ξ. τ. — 1. — Σαρβίλου ἱερέως γεγονότος τῶν εἰδώλων. Τραϊανοῦ βασιλεύοντος ἐν Ῥώμῃ, πᾶσα ἡ γῆ ἐπεπλήρωτο τῆς τῶν ματαίων εἰδώλων προσκυνήσεως. Τότε τοίνυν ἐν Ἐδέσῃ τῇ πόλει, ἐν ᾗ ἀχειροποίητος εἰκὼν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὡς μέγα θησαύρισμα ἐναπέκειτο, εἶχον οἱ ἐκεῖσε πεπλανημένοι πολῖται Σάρβιλόν τινα γηραιὸν ἐπίσημον, ὡραῖον πάνυ καὶ εὐειδῆ, ἱερέα ὄντα τῶν εἰδώλων· ὅστις ἐνεδιδύσκετο ἱματισμοῦ πολυτέλειαν ἐξηλλαγμένην φέρων καὶ κίνδαριν χρυσῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Οὗτος δὲ ἦν ἐκεῖσε ὡς ἄλλος βασιλίσκος, οὐχ ὡς ἀρχοντικὴν ἐξουσίαν ἐπέχων ἀλλ' ὡς

Mart. 4. **5.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ [1]. Τὸ μέγα κλέος τῶν ἀσκητῶν ὁ Γεράσιμος ἔννοιαν θείαν ἐκ βρέφους ἀνειληφὼς τῷ φόβῳ τε τοῦ Κυρίου [2] στοιχειωθεὶς καὶ τὸ τῶν μοναχῶν ἱερὸν [3] σχῆμα περιβαλόμενος τὴν ἐνδοτέραν ἔρημον τῆς Θηβαΐδος κατέλαβε [4] καὶ τῆς ἄνω πόλεως πολίτης γενόμενος, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ [5] κατοικία, οὐχ ὡς ὕλην δέδωκε, καθώσπερ ὁ ἐγκωμίων ἀπαιτεῖ νόμος, πατρίδα τὴν κάτω καὶ πατουμένην τοῖς ἐπαινεῖν αὐτὸν βουλομένοις· μὴ ἀνασχόμενος τάχα προτιμᾶν τῶν ἑστώτων τὰ διαρρέοντα· οὐ γὰρ ἠβούλετο κτᾶσθαι τὸν παρὰ ἀνθρώπων [6] ἔπαινον ἀλλὰ τὸν παρὰ Θεοῦ μόνον. Ὅμως ὁ σοφὸς τὰ θεῖα Σωφρόνιος, ποιμὴν τῶν Ἱεροσολύμων γενόμενος καὶ τῷ φιλοπόνῳ τῆς μελίσσης ἑαυτὸν ἀεὶ παρενείρειν ἐθέλων, τὴν πολιτείαν τούτου μετρίαν ὑπέγραψε [7] κατὰ τὸν καιρὸν ὅτε Κωνσταντῖνος, ὁ τοῦ μεγίστου [8] βασιλέως Ἡρακλείου ἔγγονος [9], ᾧ ἐπώνυμον ὁ Πωγωνάτος, τὰ σκῆπτρα τῆς Ῥωμαίων βασιλείας διεῖπεν· ὅς φησιν, τὸν προρρηθέντα ἰσάγγελον ἄνδρα γενέσθαι μὲν κατὰ τὴν ἔρημον, τοσοῦτον δὲ θέσθαι τὸν ἀγῶνα τῆς ἀρετῆς [10] καὶ τὴν πρὸς Θεὸν οἰκείωσιν κτήσασθαι καὶ τὸ κα|τ' εἰκόνα τε καὶ καθ' ὁμοίωσιν ἀνακαθᾶραί τε καὶ φυλάξαι, ὡς καὶ τῶν ἀγρίων θηρίων [11] κατάρχειν. Λέων γὰρ αὐτῷ διακονούμενος ὤφθη, ἄλλως τε τὰς ἐνδεχομένας διακονίας διατελῶν, καὶ δὴ καὶ τὸν ὑδροφόρον ὄνον ἐπὶ νομὰς ἐξάγων τε καὶ εἰσάγων [12]. Οὗπερ ποτὲ παρ' ὁδιτῶν ἐμπόρων ὑποσυρέντος καὶ ταῖς καμήλοις προσδεθέντος [13], ὕπνῳ κατεχομένου τοῦ λέοντος [14], ἠγανακτεῖτο πρὸς ἑσπέραν ὁ τῷ γέροντι καθυπηρετούμενος μονάζων, τὸν λέοντα μόνον ἰδὼν τῇ κέλλῃ παραβαλόντα, καὶ [15] τῷ γέροντι προσελθὼν ἔλεγεν, ὡς βορὰν ὁ λέων τὸν ὄνον πεποίηκεν· κἀκ τούτου ὑπ' ὄνειδος καὶ εὐθύνην ὁ λέων ἦν καὶ τὸ ὑδροφορεῖν κατεδικάζετο. Ὁ δὲ ἀσμένως τε [16] τοῦτο ἐδέξατο καὶ εὐθὺς ὑδρίας [17] φέρων ἐπὶ τῶν ὤμων ἢ ποδῶν εἶχε πρὸς τὸν ποταμὸν ἔθεεν, ὑδροφορεῖν ἐπὶ χρόνοις τοσούτοις καταδικασθείς, ἐφ' ὅσοις [18] ὁ ῥηθεὶς ὄνος παρὰ τῶν ἐμπόρων κατείχετο. Ἀλλ' εἶχε μὲν αὖθις ἡ αὐτὴ ὁδὸς τοὺς προλεχθέντας ἐμπόρους ἀνθυποστρέφοντας, τὸν λέοντα δὲ ὁ ποταμὸς ὑδροφορήσοντα. Ὃς ἰδὼν καὶ γνωρίσας, ὁρμήματι αἰφνιδίῳ καταπλήξας τοὺς ἀνθρώπους καὶ πρὸς φυγὴν τρέψας, τοῦ κημοῦ δραξάμενος εἷλκε τὸν ὄνον, ὁ δὲ ὄνος ἑπομένας τὰς καμήλους, εἰς τὸ κελλίον [19], τῷ οὐραίῳ πλήττων τὴν θύραν καὶ τὴν θήραν [20] δῆθεν προσάγων τῷ γέροντι. Ὡς δὲ τὸ γεγονὸς εἶδεν ὁ γέρων, ἠρέμα μειδιάσας [21] ἔφη πρὸς τὸν ἀδελφόν· « Μάτην ἄρα [22] ὁ λέων ὠνειδίζετο » παρ' ἡμῶν [23]· οὐκοῦν ἀπολυθεὶς τῆς δουλείας » ἐχέτω [24] τῆς προτέρας λόχμης [25] ». Τότε κλίνας τὴν κεφαλὴν ὁ λέων καὶ οἱονεὶ συνταξάμενος τῷ γέροντι [26], ὑπέδυ τὸ ὄρος, ἅπαξ τῆς ἑβδομάδος κατερχόμενος καὶ προσκυνῶν τὸν Γεράσιμον. Τελευτήσαντος δὲ τοῦ γέροντος [27], ὁ λέων κατελθὼν ἐζήτει προσκυνῆσαι συνήθως τὸν γέροντα [28]· καὶ μὴ εὑρὼν ἐῴκει ἀσχάλλοντι καὶ πολλὴν τὴν ἀδημονίαν ἐπιδεικνύμενος [29]. Ὡς δὲ μάθοι παρὰ τοῦ μοναχοῦ τὴν τοῦ γέροντος τελευτήν, λεπτῷ βρυχήματι τῆς τελευτῆς κατεθρήνει, καὶ τὸν τάφον ἐπιζητῶν κατεφαίνετο. Ὡς δὲ καὶ [30] πρὸς τὸν τάφον ἀπήχθη, ἔνθα τὸ τίμιον τοῦ γέροντος κατέκειτο λείψανον, εὐθὺς πεσὼν καὶ μέγα βρυχησάμενος ἀφῆκε τὴν πνοήν. Οὕτω δοξάζει ὁ [30] Θεὸς τοὺς αὐτῷ [31] δοξάζοντας· οὕτω παρασκευάζει καὶ θῆρας [32] αὐτοῖς ὑπείκειν, ὡς τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν διατηροῦντας | καθαρόν τε καὶ f. 174v.
ἄσπιλον.

f. 174. (margin, at "καὶ τὸ κα|τ' εἰκόνα")

**6.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σατύρου καὶ Περπετούας καὶ τῶν σὺν αὐτοῖς.

**7.** Καὶ τοῦ ὁσίου Ἰακώβου τοῦ μεγάλου ἀσκητοῦ.

5. — [1] (τοῦ - Ἰορδάνῃ) *om.* Mc (*ad d., 20 Martii*). — [2] φόβῳ τοῦ Θεοῦ Mc. — [3] *om.* Mc. — [4] καταλαβὼν Mc. — [5] οἱ S. — [6] ἀνθρώποις Mc. — [7] μετρίως διέγραψε Mc, καὶ *add.* S. — [8] μεγάλου Mc. — [9] ἔκγ. Ἡ. Mc. — [10] ἐπιδείξασθαι *add.* Mc. — [11] θηρῶν Mc. — [12] εἰσάγων τε καὶ ἐξ. Mc. — [13] (καὶ - προσδεθέντος) *om.* Mc. — [14] θηρὸς Mc. — [15] ὁ δὲ Mc. — [16] *om.* Mc. — [17] δύο *add.* Mc. — [18] θέων ὑδροφόρει ἐν τοσούτοις χρόνοις ὅσους Mc. — [19] καμήλους ἑτέραν τῇ ἑτέρᾳ προσδεδεμένους ἑαυτῷ ἐπεσύρετο· ἀγαγὼν οὖν τὸν ὄνον καὶ τὰς καμήλους εἰς τὸ κελλίον παρέστησε τοῦ ὁσίου Mc. — [20] ἄγραν Mc. — [21] μειδιῶν Mc. — [22] μαθητὴν ἄρα μ. Mc. — [23] παρ' ἡμῶν ὠ. ἀδελφέ Mc. — [24] ἐχέσθω Mc. — [25] λόγμης S. — [26] τῷ γ. σ. Mc. — [27] ἁγίου Mc. — [28] τῷ γέροντι Mc. — [29] ἀσχάλλειν καὶ ἀδημονεῖν Mc. — [30] *om.* Mc. — [31] αὐτὸν Mc. — [32] θῆρας παρ. Mc.

---

Mart. 4. ὑπερέχων πάντων ἱερέων, οὐ τῆς πόλεως μόνης, ἀλλὰ καὶ πάσης τῆς περιχώρου, ἔν τε πλούτῳ καὶ δόξῃ καὶ ὡραιότητι. Διὰ τοῦτο καὶ ἐτίμων αὐτὸν ὡς ἄλλον θεόν, ὅτι καὶ οὗτος ἦν ὁ προστάσσων προσκυνεῖν καὶ θύειν τοῖς εἰδώλοις· καὶ ἤκουον αὐτοῦ πάντες ὡς ἄλλου θεοῦ. Οὗτος πολλάκις κατηχηθεὶς ὑπὸ Βαρσιμαίου ἐπισκόπου τῆς αὐτῆς πόλεως Ἐδέσης, ὀψέ ποτε ἦλθεν εις ἑαυτὸν καὶ πιστεύσας εἰς τὸν Χριστόν, ἐβαπτίσθη ὑπὸ τοῦ ἐπισκόπου τῆς αὐτῆς πόλεως Ἐδέσης. Καὶ ἔτι κατηχηθεὶς ὑπ' αὐτοῦ καὶ διαπωλήσας πᾶσαν τὴν περιουσίαν αὐτοῦ πολλὴν οὖσαν καὶ ἄπειρον, διένειμε τοῖς πτωχοῖς· καὶ πένης διὰ τὸν Χριστὸν γενόμενος, προσήδρευε μετὰ τοῦ ἐπισκόπου. Διαβληθέντος οὖν τούτου πρὸς Λυσίαν τὸν ἡγεμόνα τῆς αὐτῆς πόλεως, ἐταράχθη ὁ ἡγεμὼν κατά γε τοῦ Σαρβίλου καὶ αὐτοῦ τοῦ ἐπισκόπου, ὡς ἀπατήσαντος αὐτόν· παρέστησεν οὖν εἰς ἐξέτασιν. Καὶ τὸν μὲν ἐπίσκοπον σφοδρῶς τύψας, εἶτα καὶ κρεμάσας καὶ ξέσας, καθεῖρξε. Τὸν δὲ Σάρβιλον πολλὰ πρότερον νουθετήσας καὶ κολακεύσας, ὡς οὐκ ἠδυνήθη μεταπεῖσαι, ποικίλως αὐτὸν ἐτιμωρήσατο, πῇ μὲν βουνεύροις πῇ δὲ ῥάβδοις, ἀγρίαις ἀναρτήσεσι, ξεσμοῖς καὶ πριστῆρσι· κατὰ κεφαλῆς αὐτὸν κρεμάσας ἀπὸ τῶν παιδογόνων μορίων πρίεσθαι τὸν ἅγιον προσέταξε. Καὶ τοῦ πριστῆρος τῷ τραχήλῳ πλησιάσαντος, ὡς εἶδε τοῦτον ἔτι ἐμπνέοντα, μαχαίρᾳ τὴν κεφαλὴν τούτου ἀπέτεμεν [1]. Καὶ οὕτω στεφανωθεὶς ὁ τρισμακάριος Σάρβιλος ἀπῆλθε πρὸς Κύριον. — Γρηγόριος. — **Mv** : 5. 2. — Γρηγόριος. — **Mr** : 5.

[1] ἀπέτεμον Mc.



## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

**1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου μοναχοῦ. Οὗτος φιλόπονος ἐγένετο ἐν πᾶσι [1] ὁμοῦ τε τῇ μελέτῃ τῶν θείων γραφῶν ἐπέδωκεν ἑαυτὸν καὶ ἐπὶ τὸ ἄκρον τῆς ἀσκήσεως προῆλθεν καὶ ἀρετῆς. Τεκμήριον δὲ ἀμφοτέρων οἵ τε γραφέντες παρ' αὐτοῦ λόγοι παντοίας παιδεύσεως καὶ ὠφελείας ὄντες [2] μεστοὶ καὶ ἡ τῶν θαυμάτων ἐνέργεια· ὧν ἓν [3] ἀναγκαῖον ἴσως εἰπεῖν [4]. Σχολάζοντος γάρ ποτε τοῦ ὁσίου ἐν τῇ αὐλῇ καὶ ἑαυτῷ προσέχοντος, προσῆλθεν ὕαινα τυφλὸν τὸν ἑαυτῆς σκύμνον ἐπαγομένη [5], καὶ διὰ ταπεινοῦ τοῦ σχήματος τοῦ ἁγίου ἐδέετο κατοικτειρῆσαι καὶ τὴν πήρωσιν τοῦ ἐκγόνου [6] ἰάσασθαι. Ὁ δὲ προσπτύσας [7] τοῖς λωβηθεῖσιν ὀφθαλμοῖς καὶ εὐξάμενος κατέστησεν αὐτοὺς ὑγιεῖς. Μεθ' ἡμέραν δὲ τῆς ὑαίνης δέρμα [8] μεγάλου προσαγαγούσης κριοῦ [9] Mart. 5.
τῆς ἰατρείας ἀντιμισθίαν [10], οὐ πρότερον αὐτὸ ὁ ὅσιος [11] λαβεῖν κατεδέξατο [12] ἢ τὸ θηρίον ὑποσχέσθαι [13] μηκέτι προβάτοις πενήτων ἐπιπηδᾶν. Ὁ δὲ περὶ τὴν ἄλογον φύσιν οὕτως ὢν συμπαθής, τίς ἂν ἦν [14] πρὸς ἀνθρώπους, οὓς ἡ τῆς φύσεως κοινωνία κατοικτίζεσθαι παρὰ τῶν ὁμογενῶν ἀπαιτεῖ. Τοσαύτη δὲ ἦν ἡ τοῦ ἀνδρὸς καθαρότης, ὡς τὸν πρεσβύτερον τῆς μονῆς διομνύμενον [15] λέγειν, ὡς οὐδέποτε τῶν θείων μυστηρίων τῷ μοναχῷ ἐπέδωκε Μάρκῳ [16], ἀλλ' ἐν τῷ προσιέναι αὐτὸν ἄγγελος αὐτῷ μετεδίδου, οὗ ἀπὸ τοῦ ἀστραγάλου τὴν χεῖρα μόνην βλέπειν ἔλεγε [17] τὴν λαβίδα κατέχουσαν, δι' ἧς ὁ ὅσιος τῶν ἁγιασμάτων μετεῖχεν. Ἀπετάξατο δὲ καὶ τῶν κοσμικῶν ἁπάντων ἐπα-

1. — [1] ἐν πᾶσι γενόμενος Mc. — [2] Mc, εἶναι S. — [3] ἐξ ὧν Mc. — [4] τινα *add.* Mc. — [5] τύφλον *hic add.* Mc. — [6] πύρωσιν τοῦ ἐγγόνου S. — [7] προσπτῆσαι S. — [8] δέρος Mc. — [9] καὶ *add.* Mc. — [10] δέξαι λεγούσης *add.* Mc. — [11] ἅγιος Mc. — [12] κ. λ. Mc. — [13] ὑποθέσθαι S. — [14] *om.* Mc. — [15] διομνυόμενον Mc. — [16] Μ. ἐπ. Mc. — [17] ἔβλεπε Mc.

---

SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 1 : Μάρκου μοναχοῦ. Οὗτος ὁ ὅσιος νεώτερος ὢν παλαιὰν Mart. 5.
καὶ καινὴν πᾶσαν γραφὴν ἐκστηθίσας, ἠξιώθη πνευματικῶν χαρισμάτων· ἐξέθετο δὲ λόγους περὶ νόμου πνευματικοῦ καὶ περὶ μετανοίας καὶ περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι καὶ περὶ τοῦ ἁγίου βαπτίσματος καὶ περὶ σώματος καὶ ψυχῆς καὶ πρὸς Νικόλαον ἐπιστολὴν καὶ πρὸς σχολαστικὸν ἀντιβολὴν περὶ τελειότητος βίου καὶ κατὰ Σαββατιανῶν καὶ κατὰ Μελχισεδεκιτῶν· ἀσκήσας ἐν τῷ μονήρει βίῳ ἔτη ξ' τελευτᾷ, ὢν ἐτῶν ρ'. Ἐξ οὗ δὲ ἀπετάξατο, οὐκ ἔπτυσε χαμαί. Ἀκροωμένου δὲ τοῦ Παφνουτίου, οὗτος διηγήσατο, ὅτι ἔλεγεν ἑαυτῷ διαμαχόμενος τῷ διαβόλῳ· « Τί θέλεις, κακόγηρε; ἰδοὺ καὶ οἴνου μετέλαβες » καὶ ἐλαίου· λοιπὸν τί θέλεις ποιῆσαί σοι, πολυφάγε, κοιλιόδουλε, φιλήδονε; » ἑαυτὸν οὕτως [1] ἐνυβρίζων. Εἶτα ἔλεγε καὶ τῷ διαβόλῳ· « Συγγεγήρακάς μοι, διάβολε, ἐν διαφόροις ἀσθενείαις τοῦ σώματος· » ἐπέρριψα ἑαυτὸν εἰς τὸ θέλημά σου καὶ οἴνου καὶ ἐλαίου μετέλαβον· μὴ καὶ ἀκμὴν τί σοι χρεωστῶ; » οὐδὲν εὑρήσεις ἐν ἐμοὶ ὅ τι θέλεις συλῆσαι. » Καὶ πάλιν ὁ ὅσιος ὀνειδίζων ἑαυτὸν διελέγετο· « Δεῦρο » λοιπόν, λῆρε, πολυφάγε, φαγόγηρε, ἕως πότε ἔσομαι μετὰ σοῦ; » Διηγήσατο δὲ καὶ τοῦτο ὁ αὐτὸς Παφνούτιος ὅτι· μιᾷ ἡμερῶν καθεζομένου αὐτοῦ, ὕαινα θηρίον λαβοῦσα αὐτῆς τὸν σκύμνον τυφλὸν ὄντα ἤνεγκε· τῇ κεφαλῇ κρούουσα τὴν θύραν τῆς αὐλῆς εἰσῆλθε καὶ ῥίπτει ἑαυτὴν πρὸς τοὺς πόδας αὐτοῦ καὶ προσάγει τὸν σκύμνον αὐτῆς τυφλὸν ὄντα. Τοῦτον λαβὼν ὁ ἅγιος καὶ πτύσας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐπεύξατο καὶ παραχρῆμα ἀνέβλεψε· καὶ θηλάσασα αὐτὸν λαβοῦσα ἀπήνεγκε. Τῇ ἑξῆς ἡμέρᾳ κώδιον μεγάλου προβάτου ἤνεγκε τῷ ἁγίῳ· καὶ θεασάμενος τὸ κώδιον ἔλεγε τῇ ὑαίνῃ· « Οὐ » λαμβάνω παρὰ σοῦ. » Ἡ δὲ ὕαινα κλίνασα τὴν κεφαλὴν ἕως τοῦ ἐδάφους ἐγονυπέτει καὶ πρὸς τοῖς ποσὶ τοῦ ἁγίου ἐτίθη κώδιον. Αὐτὸς δὲ ἔλεγεν αὐτῇ· « Ἐὰν <μὴ [2]> ἀπὸ τοῦ νῦν συνθῇ μηκέτι λυπεῖν » πένητας, οὐ λαμβάνω τὸ κώδιον. » Ἡ δὲ καὶ ἐπὶ τοῦτο ἔνευσεν τῇ κεφαλῇ. Ὡς δὲ καὶ ἡ μακαρία Μελανία εἶπεν ὅτι· « Παρὰ τοῦ ἁγίου ἐγὼ ἔλαβον τὸ κώδιον ξένιον [3] τῆς ὑαίνης. » — 2. 3 : τῶν ὁσίων πατέρων ἡμῶν Γρηγορίου Κωνσταντίας τῆς Κύπρου <καὶ [2]> Ἀδριανοῦ [4]. — **D** : 1. 2. 3. 4. — Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ. Οὗτος ἦν ἐν τοῖς χρόνοις τῶν ἁγίων ἀποστόλων, ἐκ χώρας λεγομένης Βιδανῆς [5], ἀπεχούσης ὀκτωκαίδεκα στάδια τῆς Ἰσαύρων πόλεως, παῖς ὑπάρχων Νέστορος καὶ Νάδας μητρός. Ἐπεὶ δὲ ἐν ἡλικίᾳ γενόμενος γυναικὶ προσηρμόσθη καὶ καιρὸς ἦν ἐν ᾧ συνελθεῖν αὐτοὺς ἔδει, πείθει τὴν σύνευνον τῇ παρθενίᾳ μᾶλλον ἢ τῷ γάμῳ χρήσασθαι· καὶ τοῦ λοιποῦ συνῆν αὐτῇ, οὐχ ὡς ὁμοζύγῳ ἀλλ' ὡς ἀδελφῇ καὶ κοινωνῷ παρθενίας καὶ τῆς ἁγνείας. Εἰς τοῦτο γὰρ προήχθη ὑπὸ τοῦ λαχόντος αὐτὸν ποιμαίνειν ἀρχιστρατήγου Μιχαήλ, ὃς αὐτῷ ἐν ἐσθῆτι λαμπρᾷ ἐπιστὰς τὴν εἰς Χριστὸν ἐδίδαξε πίστιν, καὶ τὸ τῆς ἁγίας Τριάδος παρέθηκεν ὄνομα, βαπτίσας αὐτὸν καὶ τῶν θείων μεταδοὺς μυστηρίων. Καὶ μέντοι καὶ μέχρι τέλους οὐ διέλιπεν ἀοράτως αὐτῷ συνὼν καὶ τῶν παραδόξων θαυμάτων τὴν ἐνέργειαν χορηγῶν· δι' οὗ ὁ ἔνδοξος μάρτυς τήν τε γυναῖκα Ἄννην — τοῦτο γὰρ αὐτῇ ὄνομα — συμφρονεῖν καὶ συμπαρθενεύειν ἔπεισε. Καὶ τοὺς γεννήτορας μεταστήσας πρὸς τὴν εἰς Χριστὸν πίστιν <ἐβάπτισε [6]>. Λέγεται δὲ ὁ πατὴρ αὐτοῦ Νέστωρ [7] διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν κατασχεθῆναι καὶ μαρτυρίου καταξιωθῆναι. Ὁ δὲ ἅγιος Κόνων τοῖς εἰδωλολάτραις εἰς ἅμιλλαν καταστάς, τῆς ζητήσεως οὔσης, ποῖος ἄρα τῶν θεῶν κρείττων ἐστίν, ὁ ὑπὸ τοῦ Κόνωνος σεβόμενος ἢ οἷς αὐτοὶ τὰς

[1] οὗτος P. — [2] *supplevi, om.* P. — [3] ξένην P. — [4] Ἀδριανοῦς P. — [5] Βιδάνης D. — [6] *om.* D, *supplevi ex* Mc. — [7] Νέστορ D.

Mart. 6. μνήμη τοῦ μάρτυρος. Ἔλαβε δὲ καὶ κατὰ δαιμόνων ἐξουσίαν· καὶ τοὺς μὲν παρεσκεύασεν ἐργάζεσθαι[18] καὶ γεωργεῖν καὶ φυλάττειν τοὺς ἀγροὺς καὶ τοὺς καρπούς· τοὺς δὲ ἐν πίθοις ἐγκλεῖσαι καὶ ἀσφαλίσαι[19], καὶ χῶσαι εἰς τοὺς θεμελίους τοῦ οἴκου αὐτοῦ. Ἐξ οὗ χρόνοις ὕστερον μετὰ τὴν αὐτοῦ τελευτὴν τοῦ οἴκου αὐτοῦ εἰς ἐκκλησίαν μετασκευαζομένου, εὑρεθῆναι τὰ κεράμια. Ὧν ἑνὸς διανοιχθέντος διὰ τὸ νομίσαι τοὺς ὀρύσσοντας χρυσίον ἔχειν, ἐξελθεῖν τὰ δαιμόνια ἐν εἴδει πυρὸς καὶ πάντας ἐκφοβῆσαι, ὡς μὴ δύνασθαι ἐκ τῆς οἰκίας προελθεῖν μετὰ δύσιν ἡλίου· μέχρις οὗ ηὔξαντο πρὸς τὸν ἅγιον[20] καὶ πάλιν ἠφάνισεν αὐτά. Ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας γέγονεν οὕτως. Τοῦ ἡγεμόνος Μάγνου τῷ τόπῳ[21] ἐπιφοιτήσαντος, ἐκρατήθη· καὶ τὸν Χριστὸν ὁμολογήσας[22] καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, δεσμευθεὶς τύπτεται σφοδρῶς[23]. Συνδραμόντος δὲ τοῦ πλήθους ἵνα ἀναιρῶσι[24] τὸν ἡγεμόνα, τοῦτο[25] γνοὺς[25] ἔφυγε, καὶ τὸν ἅγιον ἔλυσαν[26]. Τῶν αἱμάτων δὲ[25] οἷς ἐπέφυρτο ὁ ἅγιος[25] ἀποσπογγίσαντες ἐν τῷ ἰδίῳ οἴκῳ κατέστησαν, ἔνθα ἐπὶ δυσὶ χρόνοις βιώσας πρὸς Χριστὸν[27] ὃν ἐπόθησεν[25] ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τεσσαράκοντα δύο[1] μαρτύρων[1] τῶν ἐν τῷ Ἀμορίῳ[2] κρατηθέντων καὶ ἐν Συρίᾳ μαρτυρησάντων, Θεοδώρου, Κωνσταντίνου, Θεοφίλου, Βασσόη[3] καὶ τῆς συνοδίας αὐτῶν[4]. Οὗτοι τῆς πόλεως Ἀμορίου κρατηθείσης ὑπὸ τῶν Σαρακηνῶν, ὑπὸ[5] Θεοφίλου τοῦ[1] βασιλέως Ῥωμαίων στρατηγοὶ καὶ ταξιάρχαι ὄντες καὶ εὐγενεῖς[6], αἰχμάλωτοι ἀπαχθέντες, οὔτε δειλίᾳ, οὔτε ὀλιγοψυχίᾳ καὶ[7] φιλοψυχίᾳ, οὔτε πολυχρονίῳ ταλαιπωρίᾳ καὶ καθείρξει τῆς φυλακῆς τὴν εἰς Χριστὸν προδεδώκασι[8] πίστιν· ἀλλ' ἀνδρείῳ φρονήματι καὶ ψυχῆς γενναιότητι παραταξάμενοι, — οὐ γὰρ τῇ τοῦ σώματος κακώσει καὶ τῇ πολυταριχείᾳ[9] καὶ τὰς ψυχὰς ἐξησθένησαν — ἀλλ' ἀνδρείως στάντες καὶ τὴν εἰς Χριστὸν πίστιν ἀρνήσασθαι μὴ καταδεξάμενοι, χαίροντες τὰς κεφαλὰς ἀπετμήθησαν.

— [18] ἐργάσασθαι C. — [19] σφραγίσαι C. — [20] Κόνωνα *add.* C. — [21] τοῦ τόπου C. — [22] ὁμολογήσαντος C. — [23] (θῦσαι - σφοδρῶς) τιμωρεῖται C. — [24] ἀναιρήσωσι C. — [25] *om.* C. — [26] (τὸν - ἔλυσαν) *om.* C. — [27] κύριον C.

2. — [1] *om.* C. — [2] Ἀμωρίῳ S, C. — [3] Κώνσταντος, Θ., Βασόη C. — [4] τὸν ἀριθμὸν μβ' *add.* C. — [5] ἐπὶ C. — [6] καὶ *add.* C. — [7] ὀλιγοψυχίᾳ καὶ *om.* C. — [8] προέδωκαν C. — [9] καὶ τῇ πολυταριχείᾳ *om.* C.

---

Mart. 6. τῖνος ἦν διϊθύνων τὴν Ῥωμαίων ἀρχήν. Τῆς δὲ ἐντεύξεως αὐτοῦ κατὰ νοῦν αὐτῷ γενομένης καὶ διὰ τῆς τοῦ βασιλέως χειρὸς ἀπελασθέντων μὲν τῶν ἀπίστων τῆς πόλεως, ἀντεισαχθέντων δὲ καὶ εἰσοικισθέντων ἀνδρῶν εὐσεβῶν καὶ τοῦ μακαρίου Αἰθερίου εἰς εὐχαριστίαν αὖθις ἐπὶ τὸ Βυζάντιον σταλέντος καὶ ἐν τῷ ἐπανιέναι ἀπορριφέντος κατὰ τὸν Δάναπριν ποταμόν, κἀκεῖ μαρτυρικῶς τὸν δρόμον τελέσαντος τῇ ἕκτῃ[6] τοῦ μαρτίου μηνός, πρεσβείαν οἱ τῆς πόλεως Χερσῶνος πρὸς τὸν μέγαν Κωνσταντῖνον στειλάμενοι, Καπίτωνα τὸν μακάριον ἐπίσκοπον ἔλαβον· ἐφ' ᾧ τῶν μὲν[7] εὐσεβῶν ἡδομένων, τῶν δὲ ἀπίστων δυσχεραινόντων καὶ σημεῖον τῆς πίστεως αἰτούντων, εἰ ἐν μιᾷ τῶν παρ' αὐτοῖς καιομένων καμίνων εἰσελθὼν ἀπαθὴς ἐξέλθοι καὶ ἄφλεκτος, τὴν ἱερὰν ἐσθῆτα περιβαλόμενος ὁ ἐπίσκοπος καὶ τὸ ὠμοφόριον ἑαυτῷ περιθεὶς καὶ σφραγισάμενος καὶ ἐν τῷ πυρὶ εἰσελθὼν καὶ ἐφ' ὥραν ἱκανὴν διαμείνας, ἐξῆλθεν ἄφλεκτος μεστὸν ἔχων τὸν[8] φελώνην αὐτοῦ ἀνθράκων πυρός. Πάντας δὲ σχεδὸν ἐπὶ τῷ θαύματι καταπλήξας καὶ βαπτίσας ἤδη πρὸς τὸν Θεὸν ἐπιστρέψαντας, μακαρίως τὸν βίον μετήλλαξε τῇ εἰκοστῇ δευτέρᾳ τοῦ δεκεμβρίου μηνός. — **Da** : 2. — **Db** : 2. — **K** : deest. — **N** : 2 (τῶν ἁγίων νεοφανῶν τεσσαράκοντα δύο μαρτύρων). — **Bb** : 1. 2. — Τῶν ἐν Χερσῶνι ἐπισκόπων Βασιλέως κτλ. — **Bc** : 1. — Κόνωνος τοῦ κηπουροῦ (Mart. 5[4]). — 2. — **C** : Κόνωνος τοῦ κηπουροῦ. — 1. 2. — Τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων Βασιλέως κτλ. Κατὰ τοὺς χρόνους Διοκλητιανοῦ, Ἕρμονος τοῦ ἐπισκόπου εἰς διάφορα ἔθνη ἀποστείλαντος διδασκάλους, ἀπέστειλε καὶ ἐπὶ τὴν Ταυροσκυθῶν χώραν Ἐφραῒμ καὶ Βασιλέα· Ἐφραῒμ μὲν εἰς Τουρκίαν, Βασιλέα δὲ εἰς Χερσῶνα... Des. : ἀπερρίφη κατὰ τὸν Δάναπριν ποταμὸν εἰς νῆσον Ἄλσον καλουμένην, ἐν ᾗ καὶ τελευτᾷ μηνὶ μαρτίῳ ς'. — **Cd** : Κόνωνος. — 1. 2. — Τῶν ἐν Χερσῶνι. — **Ce** : Κόνωνος. — 2. — Τῶν ἐν Χερσῶνι. — **Cg** : Κόνωνος. — 1. 2. — Τῶν ἐν Χερσῶνι. — **R** : 2. — **Ra** : 2. — Κόνωνος τοῦ κηπουροῦ. — **Rb** : deest. — **Rc** : 2. — Ἡ εὕρεσις τοῦ τιμίου σταυροῦ. — Κόνωνος τοῦ κηπουροῦ. — 1. — **Mc** : 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρκαδίου (cf. Mart. 7[3]). — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἡσυχίου. Ὁ περιβόητος οὑτοσὶ καὶ τοῦ Θεοῦ ἄνθρωπος μέγας Ἡσύχιος ἐκ σπαργάνων αὐτῶν εὐλαβῶς ἀναγόμενος, τὰς ὑλώδεις μισήσας, ἐπιφορὰς ἐνδιαίτημα τοῦ ἁγίου Πνεύματος ἐχρημάτισε, τῆς ἄνω Σιὼν ἐπιποθῶν τὴν κατάσχεσιν... Des. : ὅτε δὲ τὰ σκῆπτρα τῆς βασιλείας Κωνσταντῖνος σὺν τῇ Εἰρήνῃ ἐκυβέρνα, ἐν ἔτει τῷ ,ςτ', ὁ τὴν ἐπισκοπὴν Ἀμασείας ἰθύνων Θεοφύλακτος τὸ ἱερὸν σκῆνος τοῦ παμμάκαρος Ἡσυχίου ἐν τῷ δεξιῷ μέρει τοῦ θυσιαστηρίου μεθίστησιν, ἐν ᾧ καὶ μέχρι τοῦ παρόντος τιμώμενον δείκνυται (cf. Mart. 4[1], Mai 10[3]). — Ὁ ὁσιομάρτυς Μάξιμος λιθοβοληθεὶς τ. — Εὐφρόσυνος ὕδωρ καχλάζον ποτισθεὶς τ. — Ἡ εὕρεσις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ὅτε εὑρέθη παρὰ τῆς ἁγίας Ἑλένης. — Ἡ εὕρεσις τῶν τιμίων ἥλων, οἱ μετὰ τὸ εὑρεθῆναι σαλιβάριον τοῦ χαλινοῦ γεγόνασι τοῦ βασιλέως. — Ἰουλιανὸς καὶ Εὔβουλος ξ. τ. (Mart. 7[4]). — **Mv** : 2. — Ἀρκαδίου. — Ἡσυχίου τοῦ θαυματουργοῦ. — Μάξιμος. — Εὐφρόσυνος. — Εὕρεσις τοῦ τιμίου σταυροῦ. — Εὕρεσις τῶν τιμίων ἥλων. — Ἰουλιανὸς καὶ Εὔβουλος. — **Mr** : 2.

— [6] *in marg.* D. — [7] ἑβδόμῃ *al. ut supra n. 4.* — [8] τὸ D.



## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

1. Ἄθλησις τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων ἁγίων πατέρων Βασιλέως, Εὐγενίου, Ἀγαθοδώρου, Καπίτωνος[1], Ἐλπιδίου, Αἰθερίου καὶ Ἐφραΐμ. Ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, Ἕρμων, ὁ Ἱεροσολύμων ἐπίσκοπος, ἀπέστειλεν ἐπισκόπους, εἰς | (f. 176.) μὲν Σκυθίαν Ἐφραΐμ, εἰς δὲ Χερσῶνα Βασιλέα, ἔνθα τὸν Χριστὸν κηρύττων τυφθεὶς ἀπηλάθη. Ἐγείρας δὲ τὸν υἱὸν τοῦ ἄρχοντος ἐκ τῶν νεκρῶν, πάλιν προσεκλήθη, βαπτίσας τὸν ἄρχοντα καὶ ἑτέρους πολλούς[2]. Οἱ δὲ ἄπιστοι μανέντες ἔσυραν αὐτὸν σχοινίοις ἀπὸ τῶν ποδῶν καὶ συρόμενος ἐτελεύτησε. Μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν ἐλθόντες Εὐγένιος καὶ Ἀγαθόδωρος, Καπίτων καὶ Ἐλπίδιος, ἐκήρυττον τὸν Χριστόν· καὶ ἐπισυστάντες οἱ ἕλληνες ἀπέκτειναν αὐτούς. Μετὰ δὲ ταῦτα ἀπεστάλη ἐξ Ἱεροσολύμων Αἰθέριος· καὶ ἰδὼν τοῦ λαοῦ τὸ ἄγριον προσῆλθε τῷ μεγάλῳ Κωνσταντίνῳ, ἐν τῷ Βυζαντίῳ τότε βασιλεύσαντι, καὶ ᾐτήσατο αὐτὸν καὶ ἐδιώχθησαν ἐκ τῆς χώρας Χερσῶνος οἱ εἰδωλολάτραι. Κτίσας δὲ ὁ ἅγιος ἐκκλησίαν, πάλιν προσῆλθε τῷ βασιλεῖ ἐπὶ τὸ εὐχαριστῆσαι· καὶ δεξιωθεὶς παρὰ τοῦ βασιλέως καὶ ἱερὰ λαβὼν ἐπανήρχετο πρὸς Χερσῶνα. Καὶ ἐν τῷ ἐνανέρχεσθαι ὑπὸ ἐναντίου ἀνέμου ἀπερρίφη[3] εἰς τὸν Δάναπριν ποταμὸν καὶ ἐκεῖ τελευτᾷ[4]. Mart. 7.

2. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ ὁμολογητοῦ ἐπισκόπου Πλουσιάδος[1]. Οὗτος κατὰ τοὺς χρόνους τῶν εἰκονομάχων εὑρὼν τοὺς ἄφρονας κατὰ τῆς[2] Χριστοῦ ἐκκλησίας μαινομένους καὶ πᾶσαν ἀνατρέποντας θεσμῶν ἀκρίβειαν καὶ τὰς μορφὰς τῶν ἁγίων καὶ σεπτῶν[3] εἰκόνων ἀφανίζοντας καὶ τὴν εὐπρέπειαν τῶν ἁγίων ναῶν καταλύοντας καὶ θείων πατέρων παραδόσεις ἀνατρέποντας καὶ τοὺς ἁγίους τύπους ἀναβοθρεύοντας[4], θείοις ῥήμασιν ὡς βέλεσι κατηκόντισεν, ὡς Χριστοῦ μαθητὴς[5] διωγμοὺς καὶ[6] ἐξορίας καὶ σκληραγωγίας ὑπὲρ τῆς[2] Χριστοῦ εἰκόνος αἱρετισάμενος· ὅθεν καλῶς ἀνδρισάμενος, ἐν εἰρήνῃ ὁ ὅσιος[6] τῷ Θεῷ τὸ πνεῦμα[7] παρέθετο, πρὸς τὴν ἄνω καὶ ποθουμένην αὐτῷ βασιλείαν μετατεθείς[8].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Ἀρκαδίου καὶ Νέστορος, ἐπισκόπων Τριμιθοῦντος τῆς Κύπρου.

4. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐβούλου καὶ Ἰουλιανοῦ ἰατροῦ.

5. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Δομετίου.

1. — [1] Καπήτονος S. — [2] πολοὺς S. — [3] ἀπερρίφην S. — [4] τελευτῇ S.

2. — [1] ἐπ. Πλ. τοῦ ὁμ. Mc *ad d. 8 martii.* — [2] τοῦ *add.* Mc. — [3] καὶ σεπτῶν *om.* Mc. — [4] (καὶ θείων - ἀναβοθρεύοντας) *om.* Mc. — [5] (ὡς - μαθητὴς) *om.* Mc. — [6] *om.* Mc. — [7] τ. π. τ. Θεῷ Mc. — [8] (πρὸς - μετατεθεὶς) *om.* Mc.

---

SYNAXARIA SELECTA. **H** : 3. 4. 5. — **P** : 3. 4. 5. — **D** : deest. — **Da** : 1. 3. 4. 5. — **Db** : 1. 3. 4. 5. — **K** : mutil. 1. 3. 4. 5. — **N** : 1 : Τῶν ἁγίων ἱεράρχων καὶ μαρτύρων κτλ. = D, ad diem praec.; ita vero des. : Καπίτωνα τὸν μακάριον ἐπίσκοπον ἔλαβον. Ὁ δὲ καταλαβὼν τὴν πόλιν, τὴν εἰς Χριστὸν πίστιν ἐξεπαίδευε τὸν λαόν. Βουλόμενος δὲ τὸν τοῦ Παρθενίου εἰδώλου οὕτω λεγόμενον ναὸν καταβαλεῖν καὶ ἀντ' αὐτοῦ ἐπ' ὀνόματι τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ναὸν ἐγεῖραι καὶ ἐπὶ τούτῳ καμίνους εἰς κατασκευὴν ἀσβέστου προστάξας γενέσθαι, εἰς ἀντιλογίαν κατέστη μετὰ τῶν ἀπίστων καὶ ἰουδαίων λεγόντων μὴ δύνασθαι τὸν ναὸν τῶν εἰδώλων καταλῦσαι διὰ τὴν ὑπεροχὴν τῶν θεῶν καὶ μάτην τὰς καμίνους κατασκευάζειν. Τοῦ δὲ μυκτηρίσαντος τοὺς παρ' αὐτοῖς θεοὺς καὶ εἰπόντος ὡς ἀδύνατοί εἰσιν ἑαυτοῖς βοηθῆσαι, εἰς δοκιμὴν ἡ ἀντιλογία κατέστη· πίστεις γὰρ τὰς παρ' ἀλλήλων ἔδωκαν ἑαυτοῖς τοῦ τὰς ἀμφοτέρων αἱρέσεις δι' ἀλλήλων γενέσθαι, ἐπικαλεσαμένων τῶν μὲν ἑλλήνων τὰ εἴδωλα τοῦ δὲ ἐπισκόπου τὸν παρ' αὐτοῦ σεβόμενον Χριστόν. Συνετέθη οὖν ὡς, εἰ ὁ ἐπίσκοπος εἰσελθὼν εἰς μίαν τῶν καμίνων ἀβλαβὴς ἐξέλθοι καὶ ἄφλεκτος, πιστεῦσαι καὶ αὐτοὺς γενέσθαι χριστιανούς. Ὁ δὲ ἅγιος Καπίτων ᾐτήσατο παρατεθῆναι αὐτῷ πλησίον τῆς καμίνου τὰ τέκνα αὐτῶν καὶ εἰ ἐξέλθοι τῆς φλογὸς ἀβλαβὴς ἐμβληθῆναι ταῦτα ἐν αὐτῇ καὶ προσευξαμένους αὐτοὺς ὑπὲρ αὐτῶν τοῖς εἰδώλοις ἀβλαβῆ φυλαχθῆναι αὐτά· τοὺς δὲ προθύμως κατανεῦσαι λογισαμένους ὅτι τοῦ ἐπισκόπου διαφθαρέντος ὑπὸ τοῦ πυρὸς αὐτοῖς τε ἔσται τούτου ἀπαλλαγὴ καὶ τοὺς οἰκείους ἀπολήψονται παῖδας. Ἐπεὶ δὲ ὁ ἅγιος Καπίτων τὴν ἱερὰν ἐσθῆτα περιβαλόμενος καὶ τὸ ὠμοφόριον περιθέμενος καὶ σφραγισάμενος εἰσῆλθεν ἐν τῇ καμίνῳ καὶ ἐφ' ἱκανὸν ἐν ταύτῃ προσμείνας ἐξῆλθε σῶος καὶ ἄφλεκτος καὶ τὸν φελώνην μεστὸν ἔχων ἀνθράκων πυρός, ἥ τε κατὰ τῶν δαιμόνων τοῦ Χριστοῦ νίκη τρανῶς ἐκηρύχθη καὶ πάντες ὑπέπεσον καὶ τῇ πίστει προσῆλθον καὶ δεηθέντες παρὰ τοῦ ἐπισκόπου εἰς Χριστὸν ἐβαπτίσθησαν καὶ καθαιρέται τοῦ ναοῦ τῶν εἰδώλων γεγόνασι καὶ τοῖς ἀνοικοδομοῦσι τὴν ἐκκλησίαν τοῦ ἔργου συλλήπτορες. Οὕτως οὖν ὁ ἅγιος τῆς εἰς Χριστὸν πίστεως κῆρυξ γενόμενος καὶ πλείστας θαυματουργίας ἐργασάμενος πρὸς Κύριον ἐξεδήμησε τῇ εἰκάδι δευτέρᾳ τοῦ δεκεμβρίου μηνός. — 3. 4. 5. — **Bb** : 2. 3. — **Bc** : 2. 3. 4. 5. 1. — **C** : 2. 3. — **Cd** : 2. 3. — **Ce** : 2. — **Cg** : 2. 3. — **R** : 1. — Γρηγορίου ἐπισκόπου Κωνσταντίας (Mart. 5[8]). — Ἡσιχία τοῦ ἀσκητοῦ (cf. Mart. 4[1], Mai 10[3]). — 4. 5. — **Ra** : 1. — **Rb** : deest. — **Rc** : 1. 3. 4. 5. — **Mc** : 1. 3. — Παύλου τοῦ ἁπλοῦ (Oct. 5[6]). — **Mv** : 1. 3. — Παύλου τοῦ ἁπλοῦ. — **Mr** : 1. Mart. 7.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

Mart. 8. **1.** Μνήμη τοῦ ὁσίου[1] Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας τοῦ ὁμολογητοῦ[2]. Οὗτος τῶν ἀφ' ἡλίου ἀνατολῶν γνωριζόμενος, ἐν Κωνσταντινουπόλει διελθών, καθυπηρέτει Ταρασίῳ τῷ ἁγιωτάτῳ ἔτι πρωτασηκρήτῃ ὑπάρχοντι· ἐπεὶ δὲ θείᾳ ψήφῳ πατριάρχης προεχειρίσθη, μοναστήριον f. 176v. ἐν τῷ ἱερῷ | τῷ εἰς τοῦ Εὐξείνου Πόντου <εἰσβολὴν[3]> ποιήσας, ἐκεῖσε ἀπέκειρε τόν τε Θεοφύλακτον καὶ τὸν γεγονότα Συνάδων Μιχαήλ[4]· εἶτα Μιχαὴλ μὲν εἰς τὰ Σύναδα μητροπολίτην ἐχειροτόνησε[2], Θεοφύλακτον δὲ εἰς Νικομήδειαν. Τελευτήσαντος δὲ Ταρασίου, ἐβασίλευσε Λέων ὁ Ἀρμένης, Μιχαὴλ ἐξώσας τῆς βασιλείας. Τότε κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ὁ δυσσεβὴς ἐχώρησε[5], διεδέξατο δὲ Ταράσιον ὁ μέγας Νικηφόρος· καὶ παραυτίκα προσκαλεῖται τοὺς λογάδας τῶν ἀρχιερέων, Αἰμιλιανὸν Κυζίκου, Εὐθύμιον Σάρδεων, Ἰωσὴφ Θεσσαλονίκης, Εὐδόξιον Ἀμορίου[6], Μιχαὴλ Συνάδων, Θεοφύλακτον Νικομηδείας, πρὸς τὸν ἀσεβῆ καὶ ἀποστάτην παραγίνεται βασιλέα καὶ πολλὰ ἀπὸ τῶν θείων γραφῶν αὐτῷ φάρμακα κερασάμενοι, οὐκ ἔσχον τοῦτον καταπειθῆ, ἀλλ' ἀνιάτως εἶχε καὶ ὁ αὐτὸς ἦν. Καὶ οἱ μὲν ἄλλοι σιγὴν ἤγοντο ἀπ' ἐκείνου· μόνος δὲ ὁ μακάριος[7] Θεοφύλακτος πρὸς αὐτὸν ἔφη· « Οἶδα ὅτι τῆς ἀνοχῆς τοῦ Θεοῦ καὶ » τῆς μακροθυμίας καταφρονεῖς· ἀλλ' ἥξει ἐπὶ σὲ » ἐξάπινα δεινὸς ὄλεθρος καὶ ἡ καταστροφὴ » ὁμοίως καταιγίδι καὶ οὐχ εὑρήσεις τὸν ῥυόμε- » νον. » Ὅθεν θυμοῦ πλησθεὶς πάντων ὑπερορίαν[8] καταψηφίζεται[9], τὸν μὲν ἅγιον Νικηφόρον ἐν Θάσῳ τῇ νήσῳ, τὸν δὲ Μιχαὴλ εἰς Εὐδοκιάδα καὶ ἄλλον ἀλλαχοῦ· τὸν δὲ Θεοφύλακτον ἐξώρισεν[2] εἰς Στρόβιλον[10] τὴν νῆσον, ἔνθα διαρκέσας κακουχούμενος[11] ἐπὶ χρόνοις τριάκοντα[12] πρὸς Κύριον ἐξεδήμη-

1. — [1] καὶ ὁμολογητοῦ *add.* C. — [2] *om.* C. — [3] *supplevi ex* Mc; (τῷ εἰς - εἰσβολὴν) *om.* C. — [4] εἰς τὰ Σύναδα Μ. εἶτα εὐκτηριώτας καθίστησιν C. — [5] (τότε - ἐχώρησε) καὶ χωρήσας πρὸς τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν C. — [6] Ἀμωρίου S, C. — [7] (πρὸς - μακάριος) καὶ ἀπελθὼν σὺν αὐτοῖς πρὸς τὸν ἀποστάτην ᾐτήσαντο τοῦ ἐπιστρέψαι καὶ πολλὰ ὑπὸ γραφῶν διεξῆλθον. Ὡς δὲ οὐκ ἔπεισαν οἱ μὲν ἄλλοι ἐσίγησαν· ὁ δὲ ἅγιος C. — [8] πάντας ὑπερορία C. — [9] καταδικάζει καὶ C. — [10] Στρόβιλλον S, Τρόβηλον C. — [11] κακοχούμενος S. — [12] (τὴν - τριάκοντα) ἐν ᾗ δ. χ. τ. κακοχούμενος *et hic des.* C.

---

Mart. 8. Rom. 16. 14. SYNAXARIA SELECTA. **H** : 2 (Διονυσίου καὶ τοῦ ἀποστόλου Ἑρμοῦ). — 1. — **P** : 2 : Διονυσίου καὶ τοῦ ἁγίου ἀποστόλου Ἑρμοῦ, οὗ[1] μέμνηται Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ. — 1. — **D** : mutil. 1. 2 : Διονυσίου καὶ Ἑρμοῦ. — **Da** : 1. — **Db** : 1. — **K** : 1 (contuli cum Mc). — **N** : 1. 2. — **Bb** : 1. — Ἀρκαδίου, Εὐβούλου καὶ Ἰουλιανοῦ (Mart. 7[3, 4]). — **Bc** : 1. — Μνήμη τοῦ ὁσίου Ἀρκαδίου τοῦ Κυπρίου καὶ ἄθλησις Εὐβούλου καὶ Ἰουλιανοῦ. Ὁ ὅσιος Ἀρκάδιος ὑπῆρχεν ἐκ τῆς νήσου τῆς Κύπρου μοναχὸς ἐκ βρέφους γενόμενος καὶ τῷ Θεῷ διὰ πολιτείας εὐαρεστήσας, ἀγωνιζόμενος ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου καὶ πολλοὺς ὠφελῶν οὐ μόνον διὰ βίου καὶ ἀρετῆς ἀλλὰ καὶ διδασκαλίας καὶ παραινέσεως· ἐξ ὧν ἦσαν καὶ Εὔβουλος καὶ Ἰουλιανός, οἵτινες συχνότερον πρὸς αὐτὸν ἀπερχόμενοι καὶ στηριζόμενοι τοῖς λόγοις αὐτοῦ, ἐπεμελοῦντο[2] τῆς ἀρετῆς. Ἐπὶ δὲ τῆς βασιλείας τοῦ δυσσεβοῦς καὶ παραβάτου Ἰουλιανοῦ κρατηθέντες ὑπὸ τῶν εἰδωλολατρῶν, παρρησίαν λαβόντων ἀπὸ τῆς τοῦ βασιλέως ἐξουσίας κατὰ τῶν χριστιανῶν, καὶ βασανισθέντες ἰσχυρῶς ἀπεκεφαλίσθησαν. Καὶ μαθὼν ταῦτα ὁ ὅσιος Ἀρκάδιος καὶ λυπηθεὶς μέν, εὐχαριστήσας δὲ τῷ Θεῷ τῷ οὕτως οἰκονομήσαντι, προσευχόμενος ἐν τῷ τόπῳ ἐν ᾧ προσεκαθίζετο καὶ δάκρυσι πολλοῖς περιχεόμενος ἐτελειώθη. — Τῶν ἐν Χερσῶνι ἐπισκόπων (Mart. 7[1]). — **C** : 2 (Διονυσίου ... Ἑρμοῦ). — 1. — **Cd** : 2. 1. — **Ce** : 2. 1. — **Cg** : 2. 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. 2 (Ἑρμοῦ). — **Rc** : 1. 2 (Ἑρμοῦ ... Διονυσίου). — **Mc** : 1 : Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας. Οὗτος τῶν ἀφ' ἡλίου ἀνατολῶν γνωριζόμενος, ἐν Κωνσταντινουπόλει παρεγένετο καὶ Ταρασίῳ τῷ μεγάλῳ τῆς ὀρθοδοξίας λαμπτῆρι προσοικειωθεὶς ἔτι τῶν ἀσηκρῆτις ἀφηγουμένῳ, ὑπ' αὐτοῦ καλῶς ἐκπαιδεύεται. Ἐπεὶ δὲ θείᾳ ψήφῳ Ταράσιος εἰς τὸν θρόνον[3] ἀνάγεται Κωνσταντινουπόλεως καὶ θεῖος ἀρχιερεὺς ἀναδείκνυται, Παύλου τοῦ Κυπρίου ἐθελουσίως ὑπεκστάντος τοῦ θρόνου, ὡς παρὰ τῶν εἰκονομάχων τὴν ἀρχιερωσύνην δεξαμένου καὶ ἀνάξιον ἑαυτὸν ταύτης ἀποκαλοῦντος[4], τηνικαῦτα Μιχαὴλ ὁ Συνάδων καὶ Θεοφύλακτος ὁ θαυμάσιος τὸν μοναστὴν ὑπέρχονται βίον[5]· καὶ τῷ μοναστηρίῳ τῷ κατὰ[6] τὴν εἰσβολὴν τοῦ Εὐξείνου Πόντου κειμένῳ πρὸς τοῦ μεγάλου Ταρασίου πέμπονται, ἔνθα καὶ περὶ τὰς θερινὰς ὥρας, καύματος ὄντος πολλοῦ καὶ δίψης αὐτοῖς ὑποκειμένης, εἰς γυμνάσιον ἐγκρατείας καὶ τῆς δίψης ἐπέκτασιν τὸν χαλκὸν περίστροφον κατ' εὐθεῖαν ποιήσαντες, τὸ ὕδωρ ῥεῖν ἐπαφῆκαν, αὐτοὶ τούτου μηδαμῶς μετέχοντες· οἵ[7], τῆς ἀρετῆς αὐτῶν ἐπὶ μέγα ἀρθείσης καὶ δίκην ἀστέρος ἐκλαμψάσης[8], ἄξιοι ἀρχιερωσύνης παρὰ τῷ μεγάλῳ Ταρασίῳ ἐκρίθησαν[9] καὶ[10] εὐθὺς[10] εἰς Σύναδα μὲν ὁ Μιχαὴλ πέμπεται, Θεοφύλακτος δὲ ὁ μακάριος ἐν Νικομηδείᾳ ἐπίσκοπος προχειρίζεται[11]. Ὁπόσα δὲ τὰ τούτου κατορθώματα, αὐτὰ δηλοῖ τὰ πράγματα οἵ τε δομηθέντες παρ' αὐτοῦ θεῖοι οἶκοι καὶ τὰ νοσοκομεῖα καὶ ἡ τῶν χηρῶν καὶ ὀρφανῶν προστασία καὶ ἡ ἄμετρος[12] ἐλεημοσύνη· καὶ τοσοῦτον, ὅτι πληρῶν τὴν φιάλην εὐκράτου θερμοῦ τοὺς πηροὺς[13] καὶ χωλοὺς καὶ τοὺς[10] τὰ μέλη λελωβημένους ὁ μακάριος αὐτόχειρ[14] ἀπέσμηχε[15] καὶ ἀπέρρυπτε. Τοῦ τοίνυν μεγάλου Ταρασίου τὸν βίον ἀπολιπόντος, χρόνους[10] ἐννεακαίδεκα[16] ἐν τῇ ἀρχιερωσύνῃ διαρκέσαντος[17],

[1] οὓς P. — [2] ἐπεμέλουν Bc. — [3] εἰς τ. θ. ὁ Τ. K. — [4] (Παύλου - ἀποκαλοῦντος) *om.* K. — [5] βίον ὑπ. K. — [6] εἰς K. — [7] (ἔνθα - μετέχοντες οἱ) εἶτα K. — [8] καὶ *add.* K. — [9] κριθέντες K. — [10] *om.* K. — [11] προχ. ἐπίσκοπος K. — [12] ἄστεργος K. — [13] ἀναπείρους K. — [14] αὐτ. ὁ μ. K. — [15] ἔσμιχε K. — [16] πεντεκαίδεκα K. — [17] χρόνους *add.* K.



σεν. Μετὰ δέ τινας χρόνους, τῆς αἱρέσεως παυθείσης τῇ ἀναιρέσει τοῦ τυράννου καὶ τῆς ὀρθοδοξίας ἀναλαμψάσης, ἐπὶ Θεοδώρας τῆς εὐσεβεστάτης Αὐγούστης καὶ Μεθοδίου τοῦ ἁγιωτάτου πατριάρχου, τὸ τίμιον σῶμα τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφυλάκτου ἐκ τῆς ὑπερορίας ἀνακομίζεται καὶ κατατίθεται ἐν Νικομηδείᾳ ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι ναῷ. Mart. 8.

**2.** Καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἑρμύλου[1], οὗ μέμνηται ὁ ἅγιος ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους. Rom. 16, 14.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

**1.** Ἄθλησις τῶν ἁγίων καὶ ἐνδόξων τεσσαράκοντα μαρτύρων[1] τῶν ἐν Σεβαστείᾳ τῇ πόλει μαρτυρησάντων κατὰ τοὺς καιροὺς Λικινίου ἐπὶ Ἀγρικολάου ἡγεμόνος[2]. Οὗτοι γὰρ[3] ἐκ διαφόρων πατρίδων ὄντες ὑφ' ἑνὶ τάγματι[4] ἐστρατεύοντο. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν κατασχεθέντες καὶ εἰς ἐξέτασιν ἀχθέντες καὶ πεισθῆναι θῦσαι τοῖς εἰδώλοις μὴ βουληθέντες[5], πρῶτον μὲν λίθοις τὰς ὄψεις καὶ τὰ στόματα[6] βάλλονται· αἱ δὲ βολαὶ f. 177. οὐ | μᾶλλον τούτους ἢ τοὺς βάλλοντας ἀντιστρεφόμεναι ἔπληττον. Ἔπειτα ἐν χώρᾳ καὶ ὥρᾳ[7] χειμερινῇ γυμνοὶ[8] διανυκτερεύειν κατεδικάσθησαν[8] μέσον τῆς λίμνης τῆς[8] πρὸ[8] τῆς πόλεως. Ἔνθα ἑνὸς ἐξ αὐτῶν φιλοψυχήσαντος καὶ πρὸς τὸ βαλανεῖον ἀποδραμόντος[9], ἅμα τῇ προσβολῇ τῆς θερμῆς διαλυθέντος, ὁ παρατηρῶν αὐτοὺς δήμιος καὶ φυλάττων[10] εὐθὺς μετὰ τῶν ἁγίων ἀντὶ τοῦ λείποντος κατέστησεν[11] ἑαυτόν, φῶς ἐν νυκτὶ περὶ τοὺς μάρτυρας ἰδὼν καὶ στεφάνους ἐφ' ἕκαστον αὐτῶν κατιόντας ἐξ οὐρανοῦ τεσσαράκοντα· ὧν οἱ Mart. 9.

2. — [1] S, Ἑρμοῦ *celeri fere.*

1. — [1] ἁγίων μεγαλομαρτύρων μ' Mc. — [2] (τῶν - ἡγεμόνος) *om.* Mc. — [3] *om.* Mc. — [4] στρατεύματι Mc. — [5] (καὶ πεισθῆναι - βουληθέντες) *om.* Mc. — [6] τὰ στ. κ. τ. ὄψεις Mc. — [7] εἶτα ἐν ὥρᾳ Mc. — [8] καταδικασθέντες Mc. — [9] καὶ *add.* Mc. — [10] κ. φ. *om.* Mc. — [11] μετέστησεν Mc.

---

καὶ Νικηφόρου τοῦ πανσόφου τοῦτον διαδεξαμένου, ἐλεεινὸν πρᾶγμα εἰσπίπτει[18]. Λέοντος γὰρ τοῦ Ἀρμενίου[19] δραξαμένου τῆς βασιλείας καὶ πρὸς τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν χωρήσαντος, μεταστειλάμενος ὁ μέγας Νικηφόρος τοὺς λογάδας τῶν ἀρχιερέων, Αἰμιλιανὸν Κυζίκου, Εὐθύμιον Σάρδεων, Ἰωσὴφ Θεσσαλονίκης, Εὐδόξιον Ἀμορίου, Μιχαὴλ Συνάδων[20] σὺν πολλοῖς καὶ[10] ἄλλοις[21] καὶ τὸν μακάριον Θεοφύλακτον, πρὸς τὸν ἀσεβῆ[22] καὶ ἀποστάτην παραγίνεται βασιλέα[23]. Καὶ πολλὰ ἀπὸ τῶν θείων γραφῶν αὐτῷ[24] φάρμακα κερασάμενος[25] οὐκ ἔσχε τοῦτον καταπειθῆ· ἀλλ'[26] ἀνιάτως εἶχε καὶ ὁ αὐτὸς ἦν. Καὶ οἱ μὲν ἄλλοι σιγὴν ἤγοντο ἀπ' ἐκείνου[27]· μόνος δὲ ὁ μακάριος[28] πρὸς αὐτὸν ἔφη· « Οἶδα ὅτι τῆς ἀνοχῆς καὶ μακροθυμίας τοῦ Θεοῦ καταφρονεῖς· ἀλλ' ἥξει ἐπὶ σὲ δεινὸς ὄλεθρος » ἐξάπινα[29] καὶ ἡ καταστροφὴ ὁμοία καταιγίδι· καὶ οὐχ εὑρήσεις τὸν ῥυόμενον. » Ἐπὶ τούτοις θυμοῦ πλησθεὶς ἅπαντας ὑπερορίᾳ καταδικάζει· καὶ τὸν μὲν θεῖον Νικηφόρον ἐν Θάσῳ τῇ νήσῳ, τὸν δὲ ἀοίδιμον Μιχαὴλ Συνάδων εἰς Εὐδοκιάδα καὶ ἄλλον ἀλλαχοῦ[30]· Θεοφύλακτον δὲ τὸν τρισόλβιον εἰς Στρόβιλον. Ἐκεῖσε οὖν διαρκέσας ὁ μακάριος οὗτος ὁμολογητὴς[31] χρόνους τριάκοντα καὶ τῇ ἐκ τῆς ἀλλοτρίας κακουχίᾳ[32] ἐγκαρτερήσας πρὸς Κύριον ἐξεδήμησε[33]. Μετὰ δέ τινας χρόνους κτλ. — Παύλου Πλουσιάδος (Mart. 7[2]). — 2 (Ἑρμοῦ). — Δίων μαχαίρᾳ τ. — Δομέτιος ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Παύλου. — 2 (Ἑρμοῦ). — Δίων. — Δομέτιος. — **Mr** : 1. Mart. 8.

Mart. 9. SYNAXARIA SELECTA. **H** : 1. — Παύλου ἐπισκόπου Προυσιάδος (Mart. 7[2]). — **P** : 1. — Παύλου. — **D** : 1. — Παύλου. — **Da** : 1. — Παύλου. — **Db** : 1. — Παύλου. — **K** : 1. — Παύλου. — **N** : 1. — **Bb** : 1. — Διονυσίου (Mart. 11[1]). — **Bc** : 1. — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1 : Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων τεσσαράκοντα τῶν ἐν Σεβαστείᾳ τῇ πόλει[1] μαρτυρησάντων κατὰ τοὺς καιροὺς Λικινίου τοῦ βασιλέως καὶ Ἀγρικολάου ἡγεμόνος, ὧν τὰ ὀνόματά εἰσι ταῦτα· Κυρίων[2], Κάνδιδος, Δόμνος, Σευηριανός, Εὐτύχιος, Κύριλλος, Θεόδουλος, Βιβιανός, Ἀγγίας, Ἡσύχιος, Εὐνοϊκός[3], Μελίτων[4], Ἠλιάδης[5], Ἀλέξανδρος, Σακεδών[6], Οὐάλης, Πρίσκος, Χουδίων[7], Ἡράκλειος, Ἐκδίκιος[8], Ἰωάννης, Φιλοκτήμων, Φλάβιος, Ξάνθιος, Οὐαλλέριος, Νικόλαος[9], Ἀθανάσιος, Θεόφιλος, Λυσίμαχος, Γάϊος, Κλαύδιος, Σμάραγδος, Σισίννιος, Λεόντιος, Ἀέτιος, Ἀκάκιος, Δομετιανός, Γοργόνιος, Ἰουλιανὸς καὶ Ἀγλάϊος, ὁ καὶ καπικλάριος. Οὗτοι οἱ ἅγιοι κτλ. — **Rb** : deest. — **Rc** : 1 (contuli cum Ra). — Παύλου ἐπισκόπου Συνάδων. — **Mc** : 1. — Οὐρπασιανοῦ. Ἄρτι τότε τὴν βασιλείαν Μαξιμιανὸς δυσσεβῶς ἐνδυσάμενος, τὴν περίοικον Νικομηδείας κατετυράννει, διάπυρος ἔκδικος τῶν εἰδώλων γενόμενος. Τούτου ποτὲ τὸν θυμὸν ὡς φλόγα μεγάλην ἀνάψαντες κατὰ τῶν χριστιανῶν οἱ τούτου σύμφρονες καὶ συμπόται, τότε σχεδὸν πάντας τοὺς ὑπὸ τὴν βασιλείαν αὐτοῦ συγκλητικοὺς ἐκκλησιάσας ἅμα καὶ τοὺς ἐκκλησιαστικοὺς κατεβρόντησεν· « Εἴ τις ἐξ ὑμῶν περιέπεσεν » εἰς τὴν τῶν χριστιανῶν κακίστην θρησκείαν καὶ οὐ θέλει μετάμελος πρὸς τοὺς εὐμενεῖς θεοὺς ἡμῶν » γενέσθαι, λυσάτω τὴν ζώνην αὐτοῦ ἐνώπιον πάντων καὶ ὑποχωρείτω τοῦ τε παλατίου καὶ τῆς

— [18] συνεισπίπτει πρᾶγμα K. — [19] μισοχρίστου K. — [20] (τοὺς λογάδας - Συνάδων) K. — [21] ἀρχιερεῦσι *add.* K. — [22] ἀσεβέστατον K. — [23] (καὶ - βασιλέα) βασιλέα παραγίνεται K. — [24] τὰ *add.* K. — [25] κερασάμενοι K. — [26] (οὐκ - ἀλλ) *om.* K. — [27] ἀπὸ τοῦδε K. — [28] ἅγιος Θεοφύλακτος K. — [29] ἐξ. δ. ὄλεθρος K. — [30] ἀλλαχόθεν K. — [31] Θεοφύλακτος *add.* K. — [32] τὴν ... κακουχίαν K. — [33] ἐκδημῇ *et hic des.* K.

[1] λίμνη Rc. — [2] Κυρίον Ra; *in* Rc *nomina tribus columnis scripta sunt.* — [3] Εὐνόηκος Rc. — [4] Μελήτων Rc. — [5] Ἠλιανός *in* Testamento XL martyrum, Bonwetsch, *p. 80.* — [6] Σακεδῶν Rc, Σακέρδων, Bonwetsch, *p. 80.* — [7] Χουδίον Ra, Rc. — [8] Ἐκδίκειος Ra. — [9] *in* Rc *post* Κύριλλος *scriptum.*

Mart. 9. μὲν τριάκοντα ἐννέα τῶν ἐκεῖσε ὄντων, τὸν δὲ ἕτερον στέφανον ἀντὶ τοῦ πρὸς βαλανεῖον εἰσελθόντος ἦν περιττεῦον· ἐν ᾧ εἰσδραμὼν ὁ καπικλάριος πιστεύσας ἐδέξατο αὐτὸν σὺν αὐτοῖς ὢν[12]. Ἤδη δὲ τῆς ἡμέρας ὑποφαινούσης[13], ὡς λειποψυχοῦντες μὲν οἱ ἅγιοι ἔτι δὲ ἐμπνέοντες ὤφθησαν, τὰ σκέλη θλασθέντες τὸν διὰ μαρτυρίου στέφανον ἐκομίσαντο. Εἶτα πυρὶ παραδοθέντες καὶ ἐφ' ἁμαξῶν τεθέντες[14] τοῖς ποταμίοις ἀπερρίφησαν ὕδασι. Οὕτω δὲ ἄρα αὐτοῖς καὶ [15] τοκεῦσιν[15] ἀσπαστὸς καὶ [15] καθ' ἡδονὴν ὁ θάνατος ἐνομίζετο, ὡς καταλειφθέντα τινὰ παρὰ τοῦ τυράννου δι' ἡλικίαν καὶ ῥώμην σώματος ἀναφέροντα, νομίσαντος[16] αὐτὸν ἴσως μεταβουλεύσασθαι, τὴν μητέρα παρὰ δόξαν ἐπὶ τὸν νῶτον ἀραμένην ἀντὶ τοῦ ἀγαπᾶν εἰ σωθείη περιλειφθεὶς[17], ταχυδρομῆσαι καὶ τὰς ἁμάξας καταλαβεῖν, αἳ πρὸς τὸν ποταμὸν ἔφερον τοὺς ἁγίους, καὶ [15] ἐν ταύταις[18] τὸν παῖδα ἀποφορτίσασθαι[19] ἤδη καὶ αὐτὸν ὑπελθόντα τὸν θάνατον. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ [20] μαρτυρείῳ αὐτῶν[15], τῷ ὄντι πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

Mart. 10. 1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Κοδράτου[1] Διονυσίου[2], Κυπριανοῦ, Ἀνέκτου, Παύλου καὶ Κρίσκεντος. Οὗτοι ὑπῆρχον ἐκ Κορίνθου κατὰ τοὺς χρόνους Δεκίου καὶ Οὐαλεριανοῦ[3] καὶ Ἰάσωνος ἡγεμόνος Ἑλλάδος. Ὁ δὲ ἅγιος Κοδρᾶτος κομιδῇ νήπιος καταλειφθείς, τῆς μητρὸς ἀποιχομένης αὐτοῦ, παραδόξως ἐτρέφετο, νέφους ἐπ' αὐτὸν[4] συνισταμένου καὶ χορηγοῦντος τροφήν. Ἤδη δὲ ἐν νεανίσκοις τελοῦντι συνήθεις οἱ εἰρημένοι γεγόνασιν ἅγιοι· ἤρχετο δὲ πάντων ὁ ἅγιος Κοδρᾶτος καὶ ἐδίδασκεν αὐτοὺς τὴν ἀλήθειαν. Μετὰ δὲ χρόνον τινὰ ὑπὸ τῶν εἰδωλολα-

— [12] (ἐξ - ὤν) *om.* Mc. — [13] ἐπιφανούσης Mc. — [14] (καὶ ἐφ. - τεθέντες) *om.* Mc. — [15] *om.* Mc. — [16] ἀναφέροντα ν. *om.* Mc. — [17] περιλειφθείης S. — [18] αὐταῖς Mc. — [19] ἀποφορτήσασαι S, ἀποφορτίζεσθαι Mc. — [20] ἁγιωτάτω αὐτῶν *add.* Mc.

**1.** — [1] τοῦ ἐν Κορίνθω καὶ τῶν σὺν αὐτῷ *add.* Mc. — [2] Παύλῳ Διονυσίω *etc.* Mc. — [3] Οὐαλλεριανοῦ Mc. — [4] αὐτῷ Mc.

---

Mart. 9. » πόλεως ἡμῶν. Ἡ γὰρ πόλις αὕτη θεοὺς μεμάθηκε λατρεύειν ἐκ προγόνων, καὶ οὐ Θεὸν ἕνα καὶ τοῦτον » ἐσταυρωμένον. » Τότε δὴ τότε φρίκη περιέσχεν ἅπαντας τοὺς εἰς Χριστὸν πεπιστευκότας, καὶ ἦν ἰδεῖν ἀληθῶς τὴν εἰς Χριστὸν γυμναζομένην ὄντως εὐσέβειαν. Οἱ μὲν γὰρ ὑπεκρύπτοντο, οἱ δὲ ταῖς βασάνοις ὑπέκυπτον. Ὅσοι δὲ τὴν εἰς Θεὸν ἀγάπην ἀκίβδηλον ἔφερον, ἀφειδήσαντες τῶν σωμάτων καὶ ἐπεγγελῶντες τὸν τύραννον, τὰς ἑαυτῶν ζώνας ἀπορρίπτοντες ἀπέτρεχον ἐξ αὐτοῦ. Τότε ὁ μεγαλόφρων καὶ ἀδαμάντινος τὴν ψυχὴν Οὐρπασιανός, εἷς ὢν καὶ αὐτὸς τῆς συγκλήτου, θείῳ ζήλῳ πυρούμενος ἐλθὼν ἐνώπιον τοῦ βασιλέως ἐκείνου καὶ πάσης τῆς συγκλήτου, ἔρριψε τὴν ἑαυτοῦ χλαμύδα καὶ ζώνην εἰπὼν μεγαλοφρόνως πρὸς τὸν βασιλέα· « Ἐπειδή, βασιλεῦ, ἐγὼ σήμερον ἀντιστρατεύομαι τῷ ἐπου- » ρανίῳ καὶ ἀθανάτῳ βασιλεῖ τῷ κυρίῳ μου Ἰησοῦ Χριστῷ, λάβε σου τὴν ζώνην καὶ τὴν τιμὴν καὶ » δόξαν· πρόσκαιρος γάρ ἐστι καὶ εἰς οὐδὲν χρησιμεύουσα. » Ταῦτα ἀπροσδοκήτως ἐπεξιόντος τοῦ Οὐρπασιανοῦ ὁ βασιλεὺς Μαξιμιανὸς ἀκούσας, ἠλλοιώθη τὰς φρένας καὶ ἐπὶ πολλὴν ὥραν ἔμεινεν ἄφωνος. Εἶθ' οὕτως τὴν ὄψιν τρίψας καὶ λοξὸν προσβλεψάμενος πρὸς τὸν μάρτυρα, ἐξεβρόντησεν ὡς ἀνήμερος θήρ, προσειπών· « Τὸν ἀλιτήριον κρεμάσαντες τὰς σάρκας αὐτοῦ τοῖς βουνεύροις καταξά- » νατε. » Τούτου δὲ γενομένου μετὰ πολλοῦ τοῦ τάχους καὶ τοῦ ἁγίου μάρτυρος ἐπὶ πολλὰς τὰς ὥρας τοῖς βουνεύροις ἀνηλεῶς συγκοπτομένου καὶ μηδ' ὁπωσοῦν στυγνάζοντος, καταγαγὼν αὐτὸν ὁ τύραννος ἀπὸ τοῦ μαγγάνου φησὶ πρὸς τοὺς παρεστῶτας· « Ἐν φρουρᾷ ἀφεγγεῖ καὶ ἀσφαλεστάτῃ ἀνεπιμέ- » λητον τοῦτον ταριχεύσατε, ἕως ἂν σκέψωμαι ποίῳ θανάτῳ αὐτὸν ἀναλώσω. » Τοῦ δὲ ἁγίου μάρτυρος χαίροντος καὶ εὐφραινομένου ἐν τῇ φυλακῇ ἐπὶ ἡμέρας τινὰς καὶ τὰς εὐχὰς αὐτοῦ τῷ Κυρίῳ ἀποδιδόντος, κατεσκεύασεν ὁ δυσσεβὴς βασιλεὺς ὄργανον τιμωρητικόν· τὸ δὲ ἦν κλωβὸς σιδηροῦς. Καὶ ἐξαγαγὼν τὸν ἅγιον τῆς εἱρκτῆς, προσέταξε βληθῆναι αὐτῷ καὶ εἰς ὕψος κρεμασθῆναι· τούτου δὲ γενομένου καὶ τοῦ ἁγίου μάρτυρος ἐκ τῶν χειρῶν κρεμαμένου καὶ ἐνδεδυμένου τὸν σιδηροῦν κλωβὸν ἐκεῖνον δι' ὅλου τοῦ σώματος, ἐκέλευσεν ὁ δύστηνος λαμπάδας ἀναφθῆναι καὶ γύρωθεν αὐτοῦ ἀνηλεῶς κατακαίεσθαι. Τότε ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς ἔνδον τοῦ ὀργάνου ἐκείνου ὢν κρεμάμενος, τοσοῦτον κατεκαύθη, ἕως οὗ πᾶσαι αἱ σάρκες αὐτοῦ κατέρρευσαν ὥσπερ κηρός, συγχυθεῖσαι καὶ ἀναμιγεῖσαι τῇ γῇ, καὶ τὰ ὀστᾶ αὐτοῦ πάντα γεγόνασιν ὡς χοῦς ἀπὸ ἅλωνος. Καὶ οὕτως ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς προσευχόμενος καὶ ἀναλυόμενος, τὸν ἀέρα γεμίσας μυρεψικῆς εὐωδίας ἀνῆλθεν ὡς ἀστὴρ φαεινὸς πρὸς Κύριον, καθὼς τινες τῶν πιστῶν ἰδεῖν ἠξιώθησαν. Ὁ δὲ δύστηνος καὶ θεομισὴς βασιλεὺς ἔτι τῇ μανίᾳ ἐμμένων τὸν χοῦν τῆς γῆς, ἐν ᾧ αἱ σάρκες τοῦ ἁγίου κατέρρευσαν, καὶ τὸν χοῦν τῶν ὀστέων ἐπιμελῶς συλλέξας εἰς τὴν θάλασσαν ἐνώπιον αὐτοῦ σκορπισθῆναι πεποίηκε. Ταῦτα γεγόνασιν ἐν πόλει Νικομηδείας. — Καισάριος ὁ ἀδελφὸς τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι ἓξ μάρτυρες πάππος, μάμμη, πατήρ, μήτηρ καὶ δύο τέκνα ξ. τ. — **Mv** : 1. — Παύλου ἐπισκόπου Πλουσιάδος. — Ταρασίου καὶ Καισαρίου ἀδελφοῦ τοῦ ἁγίου Γρηγορίου. — Πάππος κτλ. — **Mr** : 1.

Mart. 10. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Σωφρονίου ἐπισκόπου Ἱεροσολύμων (Mart. 11[1]). — Καὶ τοῦ ἁγίου Πουπλίου. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — Παύλου ἐπισκόπου Προυσιάδος (Mart. 7[3]). — **Bb** : 1. — **Bc** : 1. — Διονυσίου. — **C** : 1 (in marg. : Ζήτει τοῦ ἁγίου Σωφρονίου ἔμπροσθεν...). — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : deest. — **Rb** : deest. — **Rc** : 1. — **Mc** : 1. — Ἀναστασίας τῆς πατρικίας. Ἐν ταῖς ἡμέραις Ἰουστινιανοῦ τοῦ μεγάλου βασιλέως γέγονέ τις γυνὴ ἐν τῷ Βυζαντίῳ Ἀναστασία, εὐλαβὴς καὶ φοβουμένη τὸν Θεόν, ἐξ εὐγενῶν καὶ πλουσίων γονέων καταγομένη. Καὶ αὕτη πρώτη πατρικία οὖσα τοῦ βασιλέως, αὕτη τὸν τοῦ Θεοῦ φόβον



Mart. 10. ἐν ἑαυτῇ ἔχουσα, ἐπορεύετο κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ. Εἶχε δὲ φυσικὴν εὐστάθειαν καὶ πολλὴν πραότητα, ὥστε πάντας ἐπιτέρπεσθαι εἰς τὰς ἀρετὰς αὐτῆς, ἀλλὰ μὴν καὶ αὐτὸν τὸν βασιλέα. Καὶ ἐπειδὴ ἀεὶ ὁ τῶν ζιζανίων σπορεὺς τὸ καλὸν εἴωθε φθονεῖν καὶ διαβάλλειν καὶ μὴ συγχωρεῖν ἀναπαύεσθαι, ἐφθονήθη καὶ αὐτὴ παρὰ τῆς βασιλίσσης. Καὶ γνοῦσα τὸν φθόνον παρά τινος, ἡ ὄντως κατὰ Θεὸν πεπυκνωμένη λέγει πρὸς ἑαυτήν· « Ἀναστασία, εὐκαίρου καὶ ἀληθινῆς ὑποθέσεως γενο- » μένης, σώζουσα σῶσον τὴν σεαυτῆς ψυχήν, καὶ τὴν μὲν βασίλισσαν ἀπαλλάττεις τοῦ ἀλόγου » φθόνου, σεαυτῇ[1] δὲ προξενήσεις τὴν τῶν οὐρανῶν βασιλείαν. » Καὶ ὡς ταῦτα πρὸς ἑαυτὴν ἐβουλεύσατο, μισθωσαμένη πλοῖον συνάξασα ἐκ τοῦ πλούτου αὐτῆς μέρος τι τὰ λοιπὰ πάντα καταλιποῦσα τὴν Ἀλεξάνδρειαν κατέλαβε· καὶ κτίσασα ἐν τῷ Πέμπτῳ μοναστήριον, ἐξύφαινε θείους μίτους ἐκεῖσε καθεζομένη καὶ τῷ Θεῷ ἀρέσαι σπουδάζουσα· ἐν ᾧ καὶ μέχρι τῆς σήμερον σώζεται ἡ ταύτης μονή, τὸ Πατρικίας ὄνομα περιφέρουσα. Μετὰ δὲ χρόνους τινὰς παρελθοῦσα ἡ βασίλισσα τὸν τῇδε βίον, ἀναμνησθεὶς ὁ βασιλεὺς τῆς πατρικίας ἐξέπεμψε πανταχοῦ μετὰ πολλῆς τῆς ἐπιτάσεως ἀναζητῶν αὐτήν. Τοῦτο πάλιν γνοῦσα ἡ ἀληθῶς ἀμνὰς τοῦ Θεοῦ, νυκτὸς ἐάσασα αὐτῆς τὸ μοναστήριον ἀνῆλθεν ἐν Σκήτει πρὸς τὸν ἀββᾶν Δανιήλ· καὶ προσαναθεῖσα τὸ πᾶν τῷ μακαρίῳ γέροντι, ἐνέδυσεν αὐτὴν στολὴν ἀνδρῴαν, ὀνομάσας αὐτὴν Ἀναστάσιον τὸν εὐνοῦχον. Καὶ εἰσαγαγὼν αὐτὴν ἐν σπηλαίῳ, μήκοθεν ὄντι τῆς λαύρας[2] αὐτοῦ, καθεῖρξεν αὐτὴν δοὺς αὐτῇ καὶ κανόνας. Καὶ προσέταξε μηδέποτε ἐξέρχεσθαι τοῦ κελλίου μήτε τινὰ εἰσέρχεσθαι πρὸς αὐτὴν τὸ παράπαν, τυπώσας ἕνα τῶν ἀδελφῶν κομίζειν αὐτῇ ἅπαξ τῆς ἑβδομάδος κεράμιον ὕδατος καὶ τιθέναι ἔξω τοῦ σπηλαίου καὶ λαμβάνειν εὐχὴν καὶ ὑπαναχωρεῖν. Ἐκεῖσε οὖν ἡ ἀδαμάντινος αὕτη καὶ ἀνδρεία ψυχὴ ἀπροΐτως ἐκτελέσασα χρόνους εἰκοσιοκτὼ ἐφύλαττε τὸν κανόνα τοῦ γέροντος ἀπαράτρωτον καὶ ἀπαρεγχείρητον. Ποῖος οὖν νοῦς ἢ γλῶσσα τῶν εἰκοσιοκτὼ χρόνων τὰς κατὰ Θεὸν ἀρετὰς αὐτῆς ἐννοήσει διηγήσασθαι ἢ γραφῇ παραδοῦναι, ἃς αὐτὴ μόνη καθ' ἑαυτὴν τῷ Θεῷ καθεκάστην προσήγαγε, τὸ δάκρυον, τοὺς στεναγμούς, τοὺς ὀδυρμούς, τὴν ἀγρυπνίαν, τὴν εὐχήν, τὴν ἀνάγνωσιν, τὴν στάσιν, τὴν γονυκλισίαν, τὴν ξηροκοιτίαν, τὴν χαμευνίαν, τὴν νηστείαν· πρὸ δὲ πάντων καὶ μετὰ πάντων τὰς τῶν δαιμόνων συμπλοκὰς καὶ ἐπαναστάσεις, τὰς τῆς σαρκὸς ἡδονὰς καὶ πονηρὰς ἐνθυμήσεις καὶ τὰ τούτων ἀντίρροπα. Τὸ δὲ εἶναι αὐτὴν παντάπασιν ἀπρόϊτον πάσας τὰς ἡμέρας τῶν τοσούτων ἐνιαυτῶν γυναῖκα συγκλητικὴν καὶ εἰς τὰ βασίλεια ἀεὶ ἐκ συνηθείας μετὰ πλήθους ἀνδρῶν τε καὶ γυναικῶν συναναστρεφομένην, ἐκπλήττει πάντα νοῦν καὶ διάνοιαν. Ἐν τούτοις πᾶσι καλῶς ἀγωνισαμένη γέγονε σκεῦος τοῦ ἁγίου Πνεύματος. Προγνοῦσα δὲ τὴν ἑαυτῆς πρὸς Κύριον μετάθεσιν, ἔγραψεν εἰς ὄστρακον πρὸς τὸν γέροντα λέγουσα· « Πάτερ τίμιε, λάβε μετὰ σοῦ ἐν σπουδῇ τὸν τὸ ὕδωρ κομίζοντα μαθητὴν καὶ ἐπιτήδεια ἐργαλεῖα πρὸς » ταφήν, καὶ ἐλθὲ ἵνα κηδεύσῃς τὸ τέκνον σου Ἀναστάσιον τὸν εὐνοῦχον. » Ταῦτα ὡς ἔγραψεν, ἐναπέθετο ἔξω τῆς θύρας τοῦ σπηλαίου. Ὁ δὲ γέρων διὰ νυκτερινῆς ὀπτασίας μυηθεὶς ταῦτά φησι πρὸς τὸν μαθητήν· « Σπεῦσον, ἀδελφέ, πρὸς τὸ σπήλαιον, ἐν ᾧ ἐστιν ὁ ἀδελφὸς ἡμῶν Ἀναστάσιος ὁ εὐνοῦχος· » καὶ προσσχὼν ἔξω τῆς θύρας τοῦ σπηλαίου εὑρήσεις ὄστρακον γεγραμμένον. Τοῦτο λαβὼν ἐν » σπουδῇ πολλῇ ὑπόστρεψον πρὸς ἡμᾶς. » Τοῦ δὲ ἀπελθόντος καὶ ἀνενεγκόντος αὐτὸ καὶ ἀναγνοὺς ὁ γέρων ἐδάκρυσε. Καὶ λαβὼν ἐν σπουδῇ τὸν ἀδελφὸν καὶ τὰ ἐπιτήδεια, ἐπορεύθη· καὶ ἀνοίξαντες τὸ σπήλαιον εὗρον τὸν εὐνοῦχον πυρετῷ συνεχόμενον. Καὶ προσπεσὼν ἐπὶ τὸ στῆθος αὐτοῦ ὁ γέρων ἔκλαυσε λέγων· « Μακάριος εἶ, ἀδελφὲ Ἀναστάσιε, ὅτι τῆς ὥρας ταύτης ἀεὶ φροντίζων κατεφρόνησας » βασιλείας ἐπιγείου. » Ἡ δέ· « Ἐγὼ μᾶλλον, πάτερ, φησίν, χρείαν ἔχω πολλῶν εὐχῶν ἐν τῇ ὥρᾳ » ταύτῃ. » Καὶ λέγει ὁ γέρων· « Εἰ προέλαβον ἐγώ, εἶχον ἂν παρακαλέσαι τὸν Θεόν. » Καὶ ἀνακαθίσασα ἐπὶ τοῦ ψιαθίου τὴν κεφαλὴν τοῦ γέροντος κατεφίλησε προσευξαμένη. Καὶ λαβὼν ὁ γέρων τὸν μαθητὴν αὐτοῦ ἔρριψε παρὰ τοὺς πόδας αὐτῆς λέγων· « Εὐλόγησον τὸν μαθητήν μου, τὸ τέκνον σου. » Ἡ δὲ εἶπεν· « Ὁ Θεὸς τῶν πατέρων μου, ὁ παρεστηκώς μοι ἐν τῇ ὥρᾳ ταύτῃ τοῦ χωρίσαι με ἐκ τοῦ σώματος » τούτου, ὁ εἰδὼς τὰ ἐν τῷ σπηλαίῳ τούτῳ[3] διαβήματα[4], διὰ τὸ ὄνομά σου καὶ τὴν ἐμὴν ἀσθένειαν » καὶ ταλαιπωρίαν αὐτὸς ἀνάπαυσον τὸ πνεῦμα τῶν πατέρων ἐπ' αὐτῷ, ὡς ἀνεπαύσατο τὸ πνεῦμα » Ἠλιοῦ ἐπὶ τὸν Ἐλισσαιέ. » Καὶ ἐπιστραφεὶς ὁ εὐνοῦχος πρὸς τὸν γέροντα λέγει· « Διὰ τὸν Κύριον, » πάτερ, μὴ ἀποδύσητε ἃ περιβέβλημαι, καὶ μηδεὶς γνῷ τὰ περὶ ἐμοῦ. » Καὶ μεταλαβοῦσα τῶν θείων μυστηρίων λέγει· « Δότε μοι τὴν ἐν Χριστῷ σφραγῖδα καὶ εὔξασθε ὑπὲρ ἐμοῦ. » Καὶ ἀναβλέψασα κατὰ ἀνατολάς, ἔλαμψεν ὥσπερ πυρσὸς θείαν αἴγλην[5] δεξαμένη ἐν τῷ προσώπῳ. Καὶ ποιήσασα τὸ σημεῖον τοῦ τιμίου σταυροῦ εἶπε· « Κύριε, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. » Καὶ τοῦτο εἰποῦσα παρέδωκε τὸ πνεῦμα. Καὶ ὀρύγματος γενομένου ἔμπροσθεν τοῦ σπηλαίου, ἀποδυσάμενος ὁ γέρων ὃ ἐφόρει ἱμάτιον, λέγει τῷ μαθητῇ· « Ἔνδυσον τῷ ἀδελφῷ, τέκνον, ἄνωθεν ὧν περιβέβληται. » Ἐνδύοντος δὲ τοῦ ἀδελφοῦ τὴν μακαρίαν, ἐφάνησαν μὲν τούτῳ οἱ ταύτης μαστοὶ ὡς φύλλα κατεξηραμμένα, οὐδὲν δὲ περὶ τούτου τῷ γέροντι διεσάφησε. Μετὰ δὲ τὸ ἀπαρτισθῆναι τὴν κηδείαν κατερχομένων αὐτῶν,

[1] σεαυτὴν Mc. — [2] λάβρας Mc. — [3] τούτου *corr.* Mc. — [4] διαβήματα ||||||| Mc. — [5] θείαν αἴγλην *in marg.* Mc.

Mart. 10. τρῶν διαβληθέντες καὶ συλληφθέντες διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, τυφθέντες σφοδρῶς καὶ βασανισθέντες ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν[5].

f. 177r.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

Mart. 11. 1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σωφρονίου ἀρχιεπισκόπου Ἱεροσολύμων. Οὗτος χώρας μὲν ἔφυ Φοινίκης τῆς Λιβανοστεφάνου, πόλεως Δαμασκοῦ, εὐσεβῶν καὶ σωφρόνων γονέων υἱός, πατρὸς μὲν Πλινθᾶ, μητρὸς δὲ Μυροῦς. Εὐφυὴς δὲ ὢν ἔμαθε πᾶσαν ἑλληνικὴν καὶ χριστιανικὴν γραφήν. Καὶ μετήρχετο[1] πᾶσαν ἀρετὴν πραττομένην ἐν τοῖς ἐρήμοις· ἔπειτα τὴν μάνδραν τοῦ μεγάλου Θεοδοσίου[2] κατέλαβεν, ἐν ᾗ πᾶσαν θείαν διῆλθε γραφήν· εἶθ' οὕτως ἐπὶ τὴν Ἀλεξάνδρειαν ἀπῆλθε καὶ Αἴγυπτον. Περισσοτέρας[3] δὲ παιδείας γλιχόμενος, περιτυχὼν ἀνδρὶ καλουμένῳ Ἰωάννῃ, τὸν πόθον ἀφωσιώσατο, τὰ παρ' ἐκείνου λαμβάνων καὶ ἀντιδοὺς τὰ σφέτερα. Ἔνθα τοὺς ὀφθαλμοὺς ἐπίχυσιν παθόντας ὑπὸ τῶν ἁγίων Κύρου καὶ Ἰωάννου θεραπεύεται καὶ τῆς ἰατρείας μισθὸν ἀπαιτεῖται τὰ καθ' ἑκάστην αὐτῶν τελούμενα θαύματα γραφῇ παραδοῦναι. Διὰ δὲ τὴν γνῶσιν καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν ἐπίσκοπος Ἱεροσολύμων καθίσταται. Τῆς δὲ ἁγίας πόλεως ὑπὸ τῶν Περσῶν πολιορκηθείσης, εἰς Ἀλεξάνδρειαν πρὸς τὸν μέγαν Ἰωάννην τὸν ἐλεήμονα παραγίνεται· καὶ μετὰ τὴν τελευτὴν ἐκείνου, ἐν ᾗ καὶ ἐγκωμιαστικοῖς λόγοις, ἢ μᾶλλον ἐπιταφίοις, τοῦτον τιμᾷ, πάλιν εἰς τὰ Ἱεροσόλυμα ὑποστρέφει. Πολλὰς δὲ βίβλους συγγραψάμενος καὶ διαφόρους ἁγίους ἐγκωμιάσας τῇ ἁγίᾳ ἐκκλησίᾳ καταλέλοιπεν. Ἀλλὰ καὶ κατὰ αἱρετιζόντων πολλὰ στηλιτεύσας, φρούδους ἀπετέλεσεν καὶ δόγμασι πλείστους[4], τῇ καθολικῇ ἐκκλησίᾳ καταλιπών, ὧν ἕν ἐστιν καὶ τὸ ὑπερθαύμαστον διήγημα τῆς ἀληθῶς[5] ἐν γυναιξὶ ὑπερφυοῦς καὶ ἰσαγγέλου Μαρίας τῆς Αἰγυπτίας. Οὕτω καλῶς καὶ θεοφιλῶς τὸ ποίμνιον ἰθύνας καὶ στόμα Χριστοῦ χρηματίσας, πρὸς αὐτὸν ἐν εἰρήνῃ μεθίσταται.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων. Οὗτος ἐγένετο ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, πρότερον μοναχὸς γενόμενος καὶ ἀσκήσας, ὕστερον διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν προεχειρίσθη ἐπίσκοπος Ἱεροσολύμων, οὕτως δὲ ὁσίως διαπρέψας ἐν τῇ ἀρχιερωσύνῃ, ὡς καὶ ἐν τῇ συνόδῳ προσκληθῆναι, καὶ ἐπιστομίσας καὶ καταισχύνας τὸν δυσσεβῆ Μάνεντα καὶ τὸν σύμφρονα αὐτοῦ

— [5] (ἤρχετο - ἀπετμήθησαν) μεθ' ὧν συλληφθεὸς διὰ τ. ε. Χ. ὁ. καὶ τυφθεὶς σφοδρῶς σὺν αὐτοῖς ἀπετμήθη τὴν κεφαλὴν M.
1. — [1] μετέρχετο S. — [2] Θεοδωσίου S. — [3] περισοτέρας S. — [4] πλείστοις S. — [5] ἀληθοῦς S.

---

Mart. 10. λέγει ὁ μαθητής· «Ἔγνως, πάτερ, ὅτι ὁ εὐνοῦχος γυνὴ ἦν; » Ὁ δὲ γέρων ἀπεκρίνατο· « Οἶδα κἀγώ, » τέκνον, ἀλλὰ διὰ τὸ μὴ ἐξηχηθῆναι πανταχοῦ, τούτου χάριν ἀνδρῴαν στολὴν ἐνέδυσα αὐτὴν καὶ » Ἀναστάσιον εὐνοῦχον ὠνόμασα διὰ τὸ ἀνύποπτον· πολλὴ γὰρ ζήτησις ἐγένετο παρὰ τοῦ βασιλέως » περὶ αὐτῆς κατὰ πᾶσαν χώραν καὶ μάλιστα ἐν τοῖς μέρεσι τούτοις. Ἀλλ' ἰδοὺ χάριτι Θεοῦ ἐφυλάχθη » παρ' ἡμῶν.» Καὶ τότε διηγήσατο ὁ γέρων τῷ μαθητῇ λεπτομερῶς τὸν βίον αὐτῆς. — Μαρκιανὸς ξύλοις κλασθεὶς τ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ μνήμη τῆς ἀκαθίστου, ἥτις εὐχαριστήριός ἐστιν ἑορτὴ τῆς ὑπεραγίας Θεοτόκου τῆς σωσάσης τὴν πόλιν ἐκ τῶν ἐθνῶν. — **Mv** : 1. — Ἀναστασίας. — Μαρκιανός. — Μνήμη τῆς ἀκαθίστου. — **Mr** : 1.

Mart. 11. SYNAXARIA SELECTA. **H** : 3. — **P** : 3. — **D** : 1. 4. 3. — **Da** : 1. 3. 4. — **Db** : 1. 3. 4. — **K** : 1. 3. 4. — **N** : 1. 4 : Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰωάννου τοῦ ἐπικεκλημένου Τζιμισκῆ. Καταλιπὼν δὲ γυναῖκα καὶ τέκνα, κατὰ τὸν εὐαγγελικὸν λόγον, καὶ συγγενεῖς αὐτούς, τὴν στενὴν ὁδὸν εἵλετο καὶ τὸν ζυγὸν ὑπελθὼν τοῦ Χριστοῦ, διήρχετο κατὰ τὰς πόλεις καὶ χώρας καὶ εἰς αὐτὴν τὴν ἔρημον, θλιβόμενος, ὑστερούμενος, κακουχούμενος καὶ μηδενὸς ἐν μετοχῇ τῶν ἡδέων γινόμενος. Ὅθεν οὐκ ἀθεεὶ γνωσθείσης τούτῳ τῆς ἀναλύσεως, κατέλαβε τὴν Κωνσταντινούπολιν, καὶ κατὰ τὸν πάνσεπτον τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου ναόν, τὸν ἐν τῷ λεγομένῳ Διϊππίῳ, γενόμενος καὶ ἐπὶ ἡμέρας ἑπτὰ μεμενηκώς, ἐν αὐτῷ ἀνεπαύσατο ἐν Κυρίῳ. Καὶ εὑρέθη περικείμενον τῷ σώματι σιδήρου βάρος οὐ φορητόν, ὑφ' οὗ σχεδὸν καὶ καταδεδαπάνητο. Κατασκευασθείσης οὖν θήκης ἐκ λιθίνων πλακῶν, κατετέθη ἐν τῷ νάρθηκι τοῦ εἰρημένου ναοῦ, πολλῶν ἰάσεων ἐνεργηθεισῶν δι' αὐτοῦ τῷ τότε, ἀλλὰ καὶ νῦν ἐνεργουμένων ἄχρι καὶ τήμερον. — Τροφίμου, Θεοφίλου καὶ Θάλλου (Mart. 16[5], manu rec.). — **Bb** : 3. — Γρηγορίου πάπα Ῥώμης (Mart. 12[2]). — Πελαγίας τῆς ἀπὸ ἑταιρίδων (Oct. 8[1]). — **Bc** : 4. 1. — **C** : 3. — **Cd** : 3. — **Ce** : 3. — **Cg** : 3. — **R** : 1. — **Ra** : 1. — **Rb** : deest. — **Rc** : 1. 4 : Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ καὶ Κωνσταντίνου τῶν Πορφυρογεννήτων. Καὶ καταλιπὼν γυναῖκα καὶ τέκνα καὶ συγγενεῖς κτλ. — **Mc** : 1. 3. 4. — Τροφίμου καὶ Θαλλοῦ τῶν ἐν Λαοδικείᾳ μαρτυρησάντων. Ἐν ταῖς ἡμέραις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἡγεμονεύοντος Ἀσκληπιοῦ ἐν Λαοδικείᾳ, διωγμὸς γέγονε κατὰ τῶν χριστιανῶν. Καὶ κρατηθέντες οἱ ἅγιοι μάρτυρες Τρόφιμος καὶ Θαλλὸς διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἐλιθοβολήθησαν ἐπὶ ὥρας ἱκανάς. Τοῦ Θεοῦ δὲ περιφρουροῦντος αὐτοὺς ἔμειναν ἀβλαβεῖς. Τοῦτο θεασάμενος ὁ ἄρχων καὶ οἱ σὺν αὐτῷ αἰδεσθέντες εἴασαν αὐτοὺς πρὸς μικρὸν διάγειν ἀτιμωρήτους. Καὶ πάλιν διαβληθέντες παρέστησαν τῷ κριτηρίῳ. Καὶ τὸν Χριστὸν μετὰ παρρησίας Θεὸν



λῆρον καὶ πνευματομάχον Μακεδόνιον, καὶ πληρῶσαι τὴν πανήγυριν τῶν ὀρθοδόξων χαρᾶς καὶ εὐ|φροσύνης πνευματικῆς, καλῶς ἀγωνισάμενος ἐν τοῖς ὀρθοδόξοις δόγμασιν καὶ θαύματα πλεῖστα εἰς δόξαν Θεοῦ ἐργασάμενος καὶ τὸ καταπιστευθὲν αὐτῷ ἐκ Θεοῦ ποίμνιον καλῶς ἰθύνας πρὸς Κύριον ἐξεδήμησεν, ἀπολαύων τὴν αἰώνιον βασιλείαν καὶ ζωὴν καὶ συνευφραινόμενος τοῖς ἁγίοις. (f. 178.)

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πιονίου. Οὗτος ἦν πρεσβύτερος τῆς ἐν Σμύρνῃ ἁγίας τοῦ Θεοῦ ἐκκλησίας κατὰ τοὺς καιροὺς Δεκίου τοῦ βασιλέως. Ἐλέγχων δὲ ἰουδαίους καὶ ἕλληνας καὶ πείθων αὐτοὺς ἀπὸ τῶν ἁγίων γραφῶν, ὅτι εἷς ἐστι μόνος Θεὸς ἀληθινός, ὁ τὰ πάντα ποιήσας, καὶ ὁμογενὴς αὐτοῦ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ προστιθεὶς ὅτι πάντες οἱ ἁμαρτωλοὶ καὶ ἄπιστοι παρ' αὐτοῦ τιμωρηθήσονται καὶ πυρὶ αἰωνίῳ παραπεμφθήσονται, καὶ τοῦτο δῆλον ἔκ τε τοῦ σοδομιτικοῦ πυρὸς καὶ τοῦ ἐν τῇ Σικελίᾳ ἀνερχομένου, ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν μετὰ καὶ ἑτέρων χριστιανῶν. Καὶ πρῶτον μὲν παρεδόθη δεδεμένος ἀλύσεσιν τῷ τῶν εἰδώλων ἱερεῖ καὶ τῷ τῆς πόλεως ἀνθυπάτῳ Κυντιλιανῷ[1]. Ὁ δὲ ἡγεμὼν ἔτυψεν αὐτὸν σφοδρῶς καὶ ἐπὶ ξύλου ἐκρέμασε καὶ τὰς πλευρὰς αὐτοῦ κατέφλεξε. Εἶτα ἀπὸ τοῦ ξύλου καταβιβάσας, εἰς κάμινον μεγίστην ἐνέβαλεν· ἐν αὐτῇ προσευχόμενος τὸ μακάριον τέλος εὕρατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Λιθοστρώτῳ[2]. (Mart. 11.)

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ[1]. Οὗτος καταλιπὼν γυναῖκα[2], τέκνα καὶ συγγενεῖς τὴν στενὴν ὁδὸν εἵλετο· καὶ ὑπελθὼν τὸν ζυγὸν[3] Κυρίου τὸν ἐλαφρότατον, διήρχετο πόλεις καὶ χώρας καὶ αὐτὴν τὴν ἔρημον, ὑστερούμενος, θλιβόμενος, κακουχούμενος[4]. Ὅθεν γνωσθείσης αὐτῷ θεόθεν τῆς ἀναλύσεως, κατέλαβε τὴν Κωνσταντινούπολιν <καὶ [5]> ἐλθὼν ἐν τῷ[6] ναῷ τοῦ[7] ἠγαπημένου[7] Ἰωάννου τοῦ θεολόγου ἐν τῷ Διϊππίῳ, ἀνεπαύσατο ἐν Κυρίῳ ἑπτὰ ἡμέρας διαρκέσας αὐτόθι. Ἐπεὶ δὲ παρῆσαν οἱ ἐνταφιάζειν αὐτὸν μέλλοντες καὶ τὸν περικείμενον αὐτοῦ τῷ σώματι σίδηρον πολυτάλαντον ὄντα εἶδον καὶ ἅπαν τὸ σῶμα προσηλωμένον αὐτῷ[8], « Κύριε ἐλέησον » ἅπαντες[7] ἔκραζον· διὸ ἐκ μαρμάρων θήκῃ κατασκευασθείσῃ ἐν τῷ νάρθηκι[9] τοῦ εἰρημένου ναοῦ κατατίθεται, πολλῶν θαυμάτων ἰάσεις προχέων τοῖς μετὰ πίστεως προσερχομένοις· ὧν ἔνιοι τῶν ἀπολελαυκότων τῆς αὐτοῦ ἐπικουρίας εἰσέτι[10] καὶ νῦν πᾶσι διαμαρτύρονται τὰς εἰς αὐτοὺς γενομένας τοῦ ἁγίου θαυματοποιΐας.

f. 178v.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Mart. 12. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ τοῦ τῆς Σιγριανῆς, τοῦ κειμένου ἐν τῷ μεγάλῳ Ἀγρῷ. Οὗτος ὁ ὅσιος πατρὸς μὲν ἦν Ἰσαάκ, μητρὸς δὲ Θεοδότης. Τελευτήσαντος δὲ τοῦ πατρός, ἦν ἀνατρεφόμενος παρὰ τῇ μητρί, εὐσεβεῖς ὄντες καὶ πλούσιοι. Γενόμενος δὲ δωδε-

3. — [1] Κιντιλιανῷ S. — [2] *corr. prius* Λιθωστρώτω S.
4. — [1] ἐν τῷ Διππίῳ *add.* Mc. — [2] καὶ *add.* Mc. — [3] τοῦ *add.* Mc. — [4] κακοχούμενος S. — [5] Mc, *om.* S. — [6] πανσέπτω *add.* Mc. — [7] *om.* Mc. — [8] τὸ *add.* Mc. — [9] (θ. κ. ἐν τ. ν.) τῇ θήκῃ Mc. — [10] ἔτι Mc.

---

Mart. 11. εἶναι ἀληθινὸν ἐνώπιον πάντων ὁμολογήσαντες, τὰ δὲ εἴδωλα κωμῳδήσαντες καὶ τοὺς τυράννους ἐλέγξαντες, εἰς ὀργὴν τούτους ἐκίνησαν. Διὸ καὶ γυμνοὺς ἐπὶ ξύλου κρεμάσαντες τὰς σάρκας αὐτῶν εὐτόνως κατέξεσαν. Οἱ δὲ ἅγιοι προσευχόμενοι καὶ τοὺς ἕλληνας μυκτηρίζοντες ἐξέμηναν τὸν ἄρχοντα· διὸ καὶ ψηφισάμενος κατ' αὐτῶν ἐν σταυρῷ κρεμασθῆναι προσέταξεν. Ἀπερχομένων δὲ αὐτῶν ἐπὶ τὸν προκείμενον τόπον, πολὺ πλῆθος λαοῦ ἠκολούθησεν αὐτούς, καὶ σταυρωθέντες προσηύχοντο καὶ ὡμίλουν τῷ λαῷ τὰ εἰς ψυχὴν συντείνοντα. Οἱ δὲ λαοὶ ἔσπευδον προσψαῦσαι τοῖς ἱεροῖς τῶν ἁγίων σώμασιν. Οἱ μὲν γὰρ σταγόνας αἱμάτων, οἱ δὲ σουδάρια, ἄλλοι δακτυλίους καὶ ἕτεροι ἄλλα τινὰ εἴδη ἐλάμβανον εὐλογίας χάριν καὶ ἀποτροπὴν παντὸς ἐναντίου. Τότε οἱ ἅγιοι εὐλογήσαντες καὶ προπέμψαντες πάντας, τὰς ἁγίας αὐτῶν ψυχὰς τῷ Θεῷ παρέθεντο. Τινὲς δὲ τῶν εὐσεβῶν τὰ τῶν ἁγίων λαβόντες σώματα, μύροις ἀλείψαντες καὶ ὀθονίοις εἱλήσαντες, κατέθεντο αὐτὰ ἐν τῷ ναῷ. Καὶ προσελθοῦσα τοῦ ἄρχοντος Ἀσκληπιοῦ ἡ γυνὴ καὶ μυρίσασα τὴν τῶν ἁγίων μαρτύρων θήκην, καὶ ὀθόνην πολλοῦ ἀξίαν ἄνωθεν τῆς θήκης ἐφήπλωσεν. Ἀνὴρ δέ τις Ζώσιμος καὶ Ἀρτέμιος, ἄνδρες εὐλαβεῖς καὶ πιστοὶ τῶν ἁγίων συμπολῖται ὄντες, μετὰ ταῦτα τὴν τῶν λειψάνων θήκην ἀναλαβόντες καὶ εἰς τὴν ἑαυτῶν πόλιν κομισάμενοι, Στρατονίκην λεγομένην, πρὸ μιλίου ἐν τοῖς λατομίοις κατέθεντο (Mart. 16[5]). — Ἀβδᾶ ἐπισκόπου, Βενιαμὶν διακόνου καὶ τῶν σὺν αὐτοῖς ἐν Περσίδι μαρτυρησάντων. — Βενιαμὶν πάλον ἐν τῷ ἀφεδρῶνι αὐτοῦ βληθεὶς τελειοῦται. — Οἱ ἅγιοι θ' μάρτυρες καλάμων ἐν τοῖς ὄνυξιν αὐτῶν βληθέντων τελειοῦνται. — Ἅγιοι ἕτεροι πολλοὶ εἰς φυλακὴν βληθέντες ὑπὸ μυιῶν καὶ γαλῶν ἐμβληθέντων ἐσθιόμενοι τελειοῦνται. — Ἡ ἐν Κωνσταντινουπόλει ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου. — **Mv** : 1. 3. 4. — Τροφίμου καὶ Θαλοῦ. — Ἡ εἰς τὴν Κωνσταντινούπολιν ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου. — **Mr** : 1.

Mart. 12. SYNAXARIA SELECTA. **H** : 2. 1. — **P** : 2 : Γρηγορίου πάπα Ῥώμης. Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως, πρῶτον μὲν μοναχὸς <καὶ [1]> ἡγούμενος γεγονὼς ἐν Ῥώμῃ τῆς ἐπονομαζομένης Κλειοσκαύρῃ, καλλίγραφος ἄκρος. — 1. — **D** : 2. 1. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2 : Γρηγορίου πάπα Ῥώμης. Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ[2] τοῦ βασιλέως, πρῶτον μὲν μοναχὸς καὶ ἡγούμενος

[1] *om.* P. — [2] Ἰουστιανοῦ N.

Mart. 12. καετὴς συνεζεύχθη γυναικί· καὶ πείσας αὐτὴν παρθενεύειν ταῖς διδασκαλίαις αὐτοῦ, ἀπέκειρεν αὐτὴν ἐν τῇ τῆς Πριγκίπου μονῇ. Αὐτὸς δὲ διανείμας τὸν πλοῦτον αὐτοῦ τοῖς πένησιν, ἀπελθὼν ἐγένετο μοναχὸς ἐν τῷ τῆς Σιγριανῆς [1] ὄρει διακειμένῳ μοναστηρίῳ. Κρατήσας δὲ τῆς βασιλείας Λέων ὁ Ἀρμένιος εἰκονομάχος ὤν, ἔμαθε περὶ τοῦ ἁγίου Θεοφάνους· καὶ ἀποστείλας ἤγαγεν αὐτὸν ἐν τῇ βασιλευούσῃ, καταναγκάζων συνελθεῖν τῇ αἱρέσει αὐτοῦ. Μὴ πείσας δέ, πρότερον μὲν ἀπέκλεισεν εἰς φυλακήν, ἔπειτα τῆς φυλακῆς ἐκβαλὼν καὶ πάλιν καταναγκάσας ἀρνήσασθαι τὴν τῶν σεπτῶν εἰκόνων προσκύνησιν, ἐπεὶ ἑώρα μηδὲ ὅλως ἀνεχόμενον τοῦτο ἀκοῦσαι, ἐξώρισεν εἰς Σαμοθράκην· ἔνθα καὶ ἀπελθὼν ὁ ἅγιος καὶ ὀλίγον ἐπιβιώσας, προσελάβετο αὐτὸν ὁ Κύριος, αὐτῷ ἀποδοὺς ἕνεκεν τῆς ὑπὲρ αὐτοῦ ὁμολογίας βασιλείαν οὐρανῶν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῇ συσταθείσῃ ὑπ' αὐτοῦ κατὰ τὴν Σιγριανὴν μονῇ.

**2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου πάπα Ῥώμης. Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως· πρῶτον μὲν ἐγένετο μοναχὸς καὶ ἡγούμενος γεγονὼς τῆς οὕτω καλουμένης Κλιοσκαύρη [1], ἔπειτα δὲ εἰς τὸν ἀρχιερατικὸν θρόνον προήχθη. Ἦν δὲ ἐνάρετος, κατεξαίρετον ἐλεήμων· διὸ καὶ δοκιμάζων αὐτὸν ὁ Θεὸς ἀπέστειλεν ἄγγελον πρὸς αὐτὸν ἐν σχήματι ναυαγήσαντος, καὶ εὗρεν αὐτὸν πρόθυμον πρὸς τὸ δοῦναι. Πεντήκοντα γὰρ νομίσματα δέδωκε τῷ αἰτήσαντι, εἶτα ἕξ, καὶ τρίτον ἕτερα, ἕως ἐκένωσε τὸ συρτάριον τοῦ χρυσίου. Καὶ πάλιν προσελθὼν τὸ τῆς μονῆς ἀργυροῦν δέδωκε τρυβλίον. Τοιγαροῦν ἐν τῇ τάξει τῆς ἀρχιερατείας γεγονὼς συνεκάλει καθ' ἡμέραν δώδεκα πτωχούς· καὶ ἐφαίνετο αὐτῷ μόνῳ καὶ τρισκαιδέκατος. Καὶ ἐρωτήσας αὐτὸν εἰπεῖν τὸ ἑαυτοῦ ὄνομα, ἤκουσεν ὅτι θαυμαστόν· καὶ οὕτως ἐσιώπησεν συννοήσας [2] ὅτι ἄγγελος Θεοῦ ἐστι. Γενόμενος δὲ πάσης παιδείας καὶ γραφῆς ἔμπειρος, πολλὰ συγγράμματα καταλέλοιπεν ὑπαγορευθέντα μὲν ῥωμαϊστί, ἑρμηνευθέντα δὲ ἑλληνιστί. Ζήσας | f. 179. δὲ οὕτως καὶ θαύματα ἐργασάμενος διάφορα πρὸς Κύριον ἐξεδήμησεν. Πέτρος ὁ ἀρχιδιάκονος αὐτοῦ ἐξηγήσατο, ἰδεῖν λέγων περιστερὰν λευκὴν ἐν τῷ γράφειν αὐτὸν τῷ αὐτοῦ προσεγγίζουσαν στόματι, δηλονότι τὸ Πνεῦμα τὸ ἅγιον ἔλεγεν αὐτὸν γράφειν. Φασὶ δὲ ὅτι τὴν ἐπιτελουμένην λειτουργίαν παρ' ἡμῶν ἐν ταῖς νηστίμοις ἡμέραις, οὗτός ἐστιν ὁ νομοθετήσας· ὅπερ κρατεῖ [3] μέχρι καὶ νῦν, παρ' αὐτοῦ, ὡς ἔφην, προστασσόμενον [4].

**3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σαβίνου. Οὗτος ὑπῆρχεν ἐκ τῆς χώρας Αἰγύπτου· διὰ δὲ τὴν ἐπικειμένην ἀνάγκην τοῦ διωγμοῦ καταλιπὼν οἰκίαν, συγγενεῖς, πλοῦτον καὶ πάντα κόσμον, ἀνεχώρησε καὶ ἐξελθὼν ἔξω τῆς πόλεως, κατεκρύπτετο ἐν οἰκήματι σμικροτάτῳ μετὰ καὶ ἄλλων χριστιανῶν. Πολλῶν δὲ κρατουμένων, ἐζητεῖτο καὶ Σαβῖνος ὑπὸ τῶν εἰδωλολατρῶν· καὶ μὴ εὑρισκόμενος ἐλύπει τοὺς ἀπίστους. Τότε προσελθὼν εἷς πτωχὸς ὁ πρὸς αὐτὸν ἀπερχόμενος καὶ λαμβάνων τροφὴν εἶπε πρὸς αὐτούς· « Τί μοι » δίδοτε καὶ ἐγὼ ὑμῖν ὑποδείξω Σαβῖνον; » Οἱ δὲ ἔδωκαν αὐτῷ νομίσματα δύο. Καὶ ἀκολουθήσαντες αὐτῷ καὶ ἐπιστάντες τῇ οἰκίᾳ ἐκράτησαν τὸν Σαβῖνον· καὶ δήσαντες ἤγαγον πρὸς τὸν ἄρχοντα. Καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄρχων· « Διὰ τί καταφρο- » νεῖς τοῦ προστάγματος τῶν βασιλέων καὶ τῶν » μεγίστων θεῶν καὶ ἕτερον θεὸν κηρύττεις ἀγνώ- » ριστον; » Ὁ δὲ εἰπὼν ὅτι· « Μᾶλλον ὃν ἐγὼ » κηρύσσω Θεὸν ὀφείλεις καὶ σὺ γνωρίσαι καὶ » πιστεῦσαι αὐτῷ, » τιμωρηθεὶς ἐρρίφη ἐν τῷ ποταμῷ καὶ ἐτελειώθη.

1. — [1] *corr.*, *prius* Συγριανῆς S.
2. — [1] D, Ἠλιοσκάμβρη S, Ἡλιουσκάρη C, Σκλιοκάβρῆς Mc, *scil.* Clivus Scauri. — [2] συγχήσας S. — [3] *correxi ex* C, ἔστιν S. — προστασομένην S.

---

Mart. 12. γεγονὼς τῆς μονῆς τῆς οὕτω καλουμένης Κλιοσκάβρης [3]· ἔπειτα δὲ εἰς τὸν ἀρχιερατικὸν θρόνον προήχθη, οὐ κατὰ συντυχίαν καὶ ἀποκλήρωσιν λαβὼν ἀλλὰ θείᾳ ψήφῳ τὴν ἀρχιερωσύνην δεξάμενος, ὡς προϊὼν ὁ λόγος δηλώσει. Ἔτι γὰρ αὐτοῦ ἐν τῷ μοναστηρίῳ ὄντος, κατὰ τὸ ἴδιον κελλίον καλάμῳ καὶ μέλανι πρὸς γραφὴν τὴν χεῖρα κινοῦντος, ἐπέστη τις αὐτῷ τὰ ἐκ ναυαγίας κακὰ τραγῳδῶν καὶ τὸν ὅσιον εἰς οἶκτον ἐπικαλούμενος καὶ ἐπαρκέσαι αὐτοῦ τῇ συμφορᾷ δεόμενος. Ἦν δὲ ἄρα οὐ κατὰ τὸ φαινόμενον ἐνδεὴς ὁ αἰτῶν· οὐδὲ γὰρ ἄνθρωπος ἦν, ὡς ἀνάγκην ἔχειν γυμνὸς ἐκ ναυαγίας προσελθὼν τι λαβεῖν, ἀλλ' ἐν προσχήματι δεομένου τὴν προσοῦσαν τῷ ἁγίῳ συμπάθειαν ἐξεκάλυπτεν ἄγγελος· ὃς ἅπαξ προσελθὼν παρὰ τοῦ ὁσίου χρυσοῦ νομίσματα ἓξ ἐκομίσατο· εἶτα πάλιν παραγενόμενος ἕτερα ἔλαβεν ἕξ· τὸ δὲ τρίτον προσελθὼν οὐκ ἀπεπέμφθη κενός, μηδενὸς χρυσοῦ νομίσματος καταλειφθέντος τῷ ἁγίῳ· ἀλλὰ τὸ τῆς μονῆς ἀργυροῦν ἐκομίσατο τρυβλίον, τοῦτο τοῦ ὁσίου προθύμως ἐπιδιδόντος αὐτῷ. Τοσοῦτον ἦν ἄρα πρὸς τοὺς δεομένους ἀνεξίκακος ἅμα καὶ συμπαθής. Ἐξὸν γὰρ αὐτῷ καὶ τὴν τοῦ χρυσοῦ σπάνιν καὶ τὸ τοῦ αἰτοῦντος φορτικόν, ὅτι δὶς λαβὼν ὀχληρῶς προσέκειτο, ὑπιδόμενον νεμεσῆσαι καὶ ἀποπέμψασθαι, μᾶλλον εἵλετο τῶν ἀνεκποιήτων τῆς μονῆς ἅψασθαι σκευῶν, ἢ τὸν ἄνθρωπον παριδεῖν ὧν ἐδεῖτο μὴ τυχόντα καὶ ἐπανελθεῖν ἄπρακτον. Τοιγαροῦν ἐν τῇ τάξει τῆς ἀρχιερατείας γεγονὼς καὶ τῇ συνήθει τῇ πρὸς τοὺς πένητας φιλοφροσύνῃ κελεύσας αὐτῷ συγκατακλίνεσθαι δώδεκα, ὡς αὐτῷ μόνῳ ὁ τρισκαιδέκατος ἐφαίνετο τῶν ἄλλων μὴ δυναμένων αὐτὸν καθορᾶν. Ὁ δὲ τῇ τοῦ προσώπου μορφῇ καὶ τοῖς ἔνδοθεν κινήμασιν ἐδόκει τῷ ὁσίῳ ἀλλοιότερον τῶν δώδεκα διακεῖσθαι καὶ κατασχὼν αὐτὸν καὶ τὸ αὐτοῦ πυνθανόμενος ὄνομα καὶ τίς ὢν παραγένοιτο, ὄνομα μὲν αὐτοῦ φάναι μὴ θεμιτὸν εἶναι ἀκοῦσαί τινα [4], εἶναι γὰρ αὐτὸ θαυμαστόν· ὅτι δὲ ἄγγελος εἶναι μόνον προσερεῖν, ὁ καὶ πρότερον παρὰ τοῦ Θεοῦ ἐπὶ τῇ τοῦ χρυσίου αἰτήσει πεμφθεὶς καὶ συνεῖναι αὐτῷ ἔκτοτε καὶ φρουρεῖν προσταχθείς. Γενόμενος δὲ ὁ ὅσιος Γρηγόριος πάσης παιδείας καὶ γραφῆς ἔμπειρος, πολλὰ συγγράμματα καταλέλοιπε κατὰ τὴν ῥωμαϊκὴν συνταχθέντα διάλεξιν, ἃ πρὸς τὴν ἑλληνίδα ὕστερον ἡρμηνεύθησαν, οὐ δι' ἀνθρωπίνων συλλογισμῶν καὶ τῆς ἐν λόγοις σοφίας μόνον συντεθέντα, ἀλλὰ διὰ Πνεύματος ἁγίου, ὡς μετὰ τὴν αὐτοῦ ἐκ τοῦ βίου ἀνάλυσιν Πέτρος ὁ ἀρχιδιάκονος αὐτοῦ ἐξηγήσατο, ἰδεῖν λέγων περιστερὰν λευκὴν ἐν τῷ γράφειν αὐτὸν τῷ αὐτοῦ προσεγγίζουσαν στόματι καὶ οἷον συνεξηγουμένην καὶ συνεξαρμόζουσαν πρὸς τὰ γραφόμενα. Γενόμενος δὲ ἐν τοῖς κατὰ δύσιν τόποις, διδάσκει καὶ ἐπιστρέφει τὸ τῶν Σάξων ἔθνος πρὸς τὴν εἰς Χριστὸν πίστιν· οἳ καὶ ταῖς δι' ἔτους αὐτὸν τιμῶσι τιμαῖς, τὴν πρεσβυτέραν Ῥώμην καταλαμβάνοντες, ἔνθα τὸ ἱερὸν αὐτοῦ κατάκειται σῶμα. Φασὶ δὲ ὅτι ἐπιτελεῖσθαι λειτουργίαν τελείαν παρὰ Ῥωμαίοις ἐν ταῖς τῆς νηστείας ἡμέραις [5], οὗτός ἐστιν ὁ νομοθετήσας, ὅπερ κρατεῖ μέχρι νῦν παρ' αὐτοῖς. — **Bb** : 1. 3. — **Bc** : 1. 2. — **C** : 2. — Σωφρονίου (Mart. 11[1]). — 1. — **Cd** : 2. — Σωφρονίου. — 1. — **Ce** : 2. — Σωφρονίου. — **Cg** : 2. — Σωφρονίου. — 1. — **R** : 1. — **Ra** : 1. 2. — **Rb** : 1. — **Rc** : 1 : Θεοφάνους... Οὗτος ὁ ὅσιος πατρὸς μὲν ἦν Ἰσαάκ, μητρὸς δὲ Θεοδότης. Τοῦ δὲ πατρὸς αὐτοῦ τελευτήσαντος, ζεύγνυται παρὰ τῆς μητρὸς αὐτοῦ γυναικὶ ἀβουλήτως κτλ. — 2. — **Mc** : 1. — Οἱ ὑπὸ τῶν μυῶν καὶ γαλῶν ἐσθιόμενοι ἅγιοι τ. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐν Περσίδι, βασιλεύοντος Ἰσδιγέρδου Περσῶν, Ῥωμαίων δὲ Θεοδοσίου τοῦ μικροῦ. Ὧν ὁ μὲν ἅγιος Ἀβδᾶς ἐπίσκοπος ὢν ζήλῳ θείῳ διαθερμανθεὶς κτλ. (Mart. 31[3]). — 2. — Οἱ ἅγιοι θ' μάρτυρες π. τ. — Ὁ δίκαιος Φινεὲς ἐν εἰρήνῃ τ. — **Mv** : 1. 2. — Φινεές. — **Mr** : 1.

— [3] *supra ad* S. — [4] τινι N.



Mart. 12.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

Mart. 13.

**1.** Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἐν ἁγίοις Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως. Μετὰ τὴν καθαίρεσιν Ἰαννῆ [1] τοῦ παρανόμου, Μεθόδιος ὁ ἁγιώτατος εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀναχθείς, καὶ τάδε τοῖς βασιλεῦσι Θεοδώρᾳ καὶ Μιχαὴλ <διεξῄει [2]> « Οὐ δίκαιον [3] τὸ τοῦ ἁγίου » λείψανον ἐν ὑπερορίᾳ κεῖσθαι. » Καὶ μεταστέλλονται ἄμφω οἱ βασιλεῖς καὶ ὁ πατριάρχης εἰς τὸ ἀνακομισθῆναι τὸ τοῦ ἁγίου λείψανον ἐν Κωνσταντινουπόλει. Οἱ δὲ παραγενόμενοι εὗρον αὐτὸ σῶον ἀκραιφνές, ἐν ὅλοις ἔτεσι δέκα καὶ ἐννέα συντηρηθέν, <καὶ [4]> μετὰ φώτων καὶ ὕμνων εἰς τὴν βασιλικὴν τριήρην εἰσήνεγκαν. Καὶ καταλαβὼν τὸν πορθμὸν τῆς Ἀκροπόλεως ὁ βασιλεὺς καὶ ἡ σύγκλητος λαμπαδηφόροι κατησπάζοντο καὶ ἐπ' ὤμων φέροντες ἐν τῇ μεγάλῃ ἀπέθεντο ἐκκλησίᾳ· ἔπειτα ἀναλαβόμενοι ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κατέθεντο τῇ τρισκαιδεκάτῃ μαρτίου, ἐν ᾗ καὶ πρὸς τὴν ἐξορίαν ἀπηνέχθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις.

f. 179ᵛ. **2.** | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀφρικανοῦ [1] Πουπλίου <καὶ [2]> Τερεντίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Πετρίῳ.

**3.** Καὶ τοῦ ἁγίου μάρτυρος Σαβινιανοῦ.

**4.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος

1. — [1] Ἰανῆ S. — [2] *om.* S, *supplevi ex* D. — [3] ἔκριναν *add.* S, *nonnulla omissa videntur.* — [4] *supplevi, om.* S.
2. — [1] Ἀφρικιανοῦ S, Ἀφρικανοῦ *ceteri.* — [2] *om.* S.

---

Mart. 13. SYNAXARIA SELECTA. **H** : Σαβίνου (Mart. 12[3]). — 2. 3. 1. — **P** : 3 : Σαβινιανοῦ. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως, ὑπάρχων ἐξ Ἑρμουπόλεως τῆς Αἰγύπτου, πρῶτος καὶ εὐγενὴς τῶν ἐκεῖσε ὑπαρχόντων. — 2. — Σαβίνου. — 1. — **D** : Σαβίνου. Οὗτος ἦν ἐξ Ἑρμουπόλεως τῆς κατ' Αἴγυπτον κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως. Κρυπτόμενος δὲ μετὰ καὶ ἑτέρων εὐσεβῶν ἔξω τῆς πόλεως ἐν δωματίῳ μικρῷ καὶ ζητούμενος παρὰ τῶν εἰδωλολατρῶν διὰ τὸ πολὺν εἶναι λόγον τοῖς χριστιανοῖς περὶ αὐτοῦ, γένους τε τοῦ πρώτου μετέχοντος [1], ὕστερον πεφώραται. Ἀχθεὶς τοίνυν πρὸς Ἀρειανόν τινα τῆς πόλεως ἡγεμόνα [2] καὶ τὴν εἰς Χριστὸν πίστιν ὁμολογήσας, ἀναρτηθεὶς ξέεται ἐπὶ τοσοῦτον, ὡς καταρρεῦσαι τὰς σάρκας αὐτοῦ πρὸς τὴν γῆν. Εἶτα λαμπάσι πυρὸς καταφλέγεται καὶ πρὸς τούτοις λίθῳ προσδεθεὶς κατὰ τοῦ ποταμοῦ [3] ἀφίεται καὶ τὸν διὰ μαρτυρίου κομίζεται στέφανον. — 1 : Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ μεγάλου ἀρχιερέως Νικηφόρου ἐστὶν αὕτη. Μετὰ τὴν καθαίρεσιν Ἰαννῆ τοῦ παρανόμου, Μεθοδίου τοῦ ἁγιωτάτου εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀνενεχθέντος, τῷ τετάρτῳ ἔτει τῆς ἱερατείας αὐτοῦ μετὰ πάντων αὐτοῦ τῶν ἄλλων κατορθωμάτων τάδε τοῖς βασιλεῦσι Μιχαὴλ καὶ Θεοδώρᾳ διεξῄει· « Οὐ δίκαιόν ἐστι τὸν αἰδέσιμον καὶ πανόσιον ἐν πατριάρχαις » Νικηφόρον ὑπὲρ τῆς ἀμώμου πίστεως τῆς ἱεραρχίας καὶ τοῦ θρόνου ἐξωσθέντος καὶ ἐν ὑπερορίᾳ τὴν » ζωὴν συμπεράναντος μὴ τὸ τίμιον αὐτοῦ καὶ ἱερὸν λείψανον ἔνδον γενέσθαι Κωνσταντινουπόλεως. » Τούτοις ἑτοίμως πειθαρχήσαντες, τοὺς αὐτὸ μετακομίσοντας ἀποστέλλουσι τάχιον· σὺν αὐτοῖς δὲ καὶ ὁ μέγας Μεθόδιος σὺν ἱερεῦσι καὶ μονασταῖς παραγίνεται. Καὶ εὑρόντες ὅλον δι' ὅλου ἀκραιφνὲς αὐτὸ καὶ ὁλόκληρον, μετὰ φώτων καὶ ὕμνων εἰς τὴν βασιλικὴν τριήρη εἰσήνεγκαν. Ἡνίκα δὲ διεπεραίου τὸν πορθμὸν τῆς Ἀκροπόλεως, ὅ τε βασιλεὺς καὶ ἡ σύγκλητος λαμπαδηφόροι προσυπήντων καὶ κατησπάζοντο· καὶ ἐπ' ὤμων φέροντες ἐν τῇ μεγάλῃ ἀπέθεντο ἐκκλησίᾳ· κἀκεῖσε διανυκτερεύσαντες ἕωθεν

— [5] ἡμέρας N.
[1] καὶ τῷ τῆς εὐσεβείας ζήλῳ τῶν ἄλλων προέχοντος *add.* Mc. — [2] ἡγεμόνος D. — [3] Σκαμάνδρου *add.* Mc.

Mart. 13. Ἀλεξάνδρου τοῦ ἐν Πύδνῃ. Οὗτος ὡς ἐν σκοτομήνῃ τῆς πλάνης ἀναλάμψας οἷά τις πολύφωτος ἀστήρ, τὴν μανίαν τῶν δυσσεβῶν διήλεγξεν καὶ τὸν κατεπαιρόμενον ἀντίπαλον τοῖς ῥήμασιν ὡς βέλεσι[1] κατέτρωσε, καὶ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφων καὶ βαπτίζων. Οὕτω δὲ ποιῶν εἰς ὀργὴν ἐκίνησεν καθ' αὐτοῦ[2] τοὺς εἰδωλολάτρας· καὶ[3] τὴν παρρησίαν αὐτοῦ καὶ τοῦ λόγου τὸ ἰσχυρὸν[4] μὴ ὑπομείναντες[5], ποικίλαις μαγγανείαις ἐπειρῶντο τὸ εὔτονον αὐτοῦ καταβαλεῖν. Καὶ μὴ ἰσχύσαντες ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτέμνουσιν. Ὁ δὲ Θεὸς χαρίσμασιν ἰαμάτων αὐτὸν[6] ἀνταμείβεται· ἅπασαν γὰρ νόσον πονηρὰν ἀπελαύνει ἀπὸ τῶν πίστει προσιόντων αὐτῷ.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

Mart. 14. 1. Ἄθλησις τοῦ ἁγίου ὁσιομάρτυρος πατρὸς ἡμῶν Βενεδίκτου, τοῦ κατὰ τὴν ἑλλάδα φωνὴν μεθερμηνευομένου εὐλογημένου[1]. Οὗτος ἦν ἐκ τῆς Ῥωμαίων γῆς, ἐκ χώρας Νουρσίας λεγομένης. Καταλείψας δὲ τὴν πατρικὴν περιουσίαν καὶ αὐτοὺς τοὺς γεννήτορας[2], ἔρημόν τινα τόπον μετὰ τῆς τροφοῦ καταλαμβάνει, ἔνθα δι' ἀρετῆς καὶ ἀσκήσεως προσοικειώσας ἑαυτὸν τῷ Θεῷ, θαυμάτων παρ' αὐτοῦ δύναμιν ἐπλούτησε καὶ ἰάσεων. Καὶ τὰ μὲν ἄλλα[3] τῶν παραδοξοποιῶν διεξοδικώτερον ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ, δι' ὧν παντοῖα κατειργάσατο θαύματα[4]. Ἐκεῖνο δὲ μόνον[5] προσειπεῖν ἀναγκαῖον, ὅτι μέλλοντος αὐτοῦ πρὸς Κύριον ἐκδημεῖν, μοναχοί τινες δύο ἐν τοῖς ἑαυτῶν κελλίοις ἐφησυχάζοντες ἔδοξαν ἰδεῖν κατὰ ταὐτὸν[6] ὁδόν τινα φέρουσαν πρὸς[7] οὐρανὸν ὑπεστρωμένην ἱματίοις πολυτελέσι, καταλαμπομένην ἐντεῦθεν καὶ ἐντεῦθεν[8] ὑπὸ λαμπάδων συχνῶν[9]. Καὶ πυθόμενοι[10] τίς ἄρα αὕτη ἐστιν, πρός τινος φαιδροῦ καὶ λευχειμονοῦντος ἀκοῦσαι, ὅτι αὕτη τῷ Βενεδίκτῳ ἡ πορεία ἡτοίμασται· δηλοῦντος, οἶμαι, τοῦ ὁραθέντος τὴν ἐσομένην λαμπρότητα καὶ δορυφορίαν ἐν τῷ μέλλειν τὸν ὅσιον πρὸς Κύριον ἐκδημεῖν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Εὐσχήμονος ἐπισκόπου Λαμψάκου[1]. Οὗτος ἐκ βρέφους καλῶς αὐξηθεὶς φίλος γέγονε Θεοῦ[2]· καὶ εἰς ἄνδρα τέλειον φθάσας ναὸς ὑπῆρξε τοῦ παναγίου Πνεύματος, τὸν ἀγγελικὸν βίον ἑλόμενος[3] καὶ τὴν ὀρθόδοξον πίστιν αἱρετισάμενος· ἀλλὰ καὶ εἰς τὸ τῆς ἀρχιερωσύνης ὕψος ἀνελθὼν | χάριτος ἐπληρώθη πνευματικῆς[4]. f. 181. Ζήλῳ γὰρ θείῳ τρωθεὶς τοὺς ἱερεῖς τῆς αἰσχύνης κατέβαλλε[5], θαυμάσια τελῶν παράδοξα. Οὗτος ἄπνουν βρέφος βασταζόμενον ὑπὸ τῆς μητρὸς πρὸς ζωὴν ἐπανήγαγεν, καὶ θηρίοις φοβερὸς γέγονε· προστάξει γὰρ μόνῃ αὐτὰ ἀπεδίωκε τὴν τῶν λαχάνων χλόην θερίζοντα. Εἱρκτῇ δὲ ἐγκλεισθεὶς ὡς προσκυνητὴς τῶν θείων χαρακτήρων, τοὺς αὐτὸν φυλάσσοντας προσκυνητὰς τῶν ἁγίων εἰκόνων εἰργάσατο· καὶ ὑπερόριος γενόμενος, τῶν πενήτων ἐφρόντιζεν. Ὅθεν ἐν εἰρήνῃ τελειωθεὶς θαύμασιν ἀπείροις τοὺς πιστῶς αὐτῷ προσιόντας <εὐεργετῶν[6]> καὶ τὴν ῥῶσιν χαριζόμενος ὑπὸ Θεοῦ καταστέφεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Σατύρου, Σατορνίνου, Ῥευκάτου[1], Περπετούας καὶ Φηλικιτάτης[2] ἀθλησάντων ἐν Ῥώμῃ.

4. Καὶ τῆς ἁγίας μάρτυρος Εὐφρασίας.

5. Καὶ τῆς ἁγίας Χριστίνης τῆς ἐν Περσίδι.

4. — [1] ὡς βέλεσι τοῖς ῥ. Mc. — [2] κατ' αὐτοῦ S. — [3] (καὶ πολλοὺς - καὶ) οἱ τῆς πλάνης οὖν προστετηκότες Mc. — [4] (τοῦ - ἰσχυρὸν) ἀνδρείαν Mc. — [5] φέροντες Mc. — [6] αὐτὸν χ. ἰ. Mc.

1. — [1] μνήμη τοῦ ὁσίου π. ἡ. B. Mc. — [2] ἐν πάνυ μικρᾷ τῇ ἡλικίᾳ καὶ ἐν ἀτελεῖ *add.* Mc. — [3] τὰς μὲν ἄλλας Mc. — [4] καὶ νεκροὺς ἀνιστῶν καὶ τὰ μέλλοντα προλέγων καὶ περὶ τῶν ἀπόντων ὡς παρόντων διαλεγόμενος *add.* Mc. — [5] μόνω S, *om.* Mc. — [6] Mc, κατ' αὐτὸν S. — [7] εἰς Mc. — [8] ἐντ. κ. ἐντ. *om.* Mc. — [9] συγχνῶν S. — [10] πυνθόμενοι S.

2. — [1] Λαμψάκων Mc. — [2] φ. γ. Θεοῦ *om.* Mc. — [3] (ναὸς - ἑλόμενος) ὤφθη ναὸς Θεοῦ Mc. — [4] (αἱρετισάμενος - πνευματικῆς) μυηθεὶς καὶ τὸν ἀγγελικὸν βίον ἑλόμενος εἰς τὸ τῆς ἱερωσύνης ὕψος ἀνάγεται ὅθεν καὶ χάριτος θείας ἐπλήσθη Mc. — [5] κατέβαλε Mc. — [6] Mc, *om.* S.

3. — [1] *Cf. Febr.* 2[3], *n. 1.* — [2] Φιλητάτης S.

---

Mart. 13. ὁμοίως ἀναλαβόμενοι τὸν ἅγιον ἐκεῖθεν ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων κατατίθενται τῇ τρισκαιδεκάτῃ μαρτίου, ἐν ᾗ καὶ πρὸς τὴν ἐξορίαν ἀπήχθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις. — 2. 3. — **Da** : 1. — Σαβίνου. — **Db** : 1. — Σαβίνου. — 3. — **K** : 1. — Σαβίνου. — **N** : 1. — Σαβίνου. — **Bb** : 4. 1. — **Bc** : 4. — Σαβίνου. — **C** : Σαβίνου. — 2. 4. — **Cd** : Σαβίνου. — **Ce** : 4. — **Cg** : Σαβίνου. — 2. 4. — **R** : 1. — **Ra** : deest. — **Rb** : 1. — **Rc** : 1. — Σαβίνου. — **Mc** : 1. — Σαβίνου. — 2. — Ἄβιβος ὁ ἐξ Ἑρμουπόλεως λίθῳ προσδεθεὶς καὶ ἐν ποταμῷ ῥιφεὶς τ. — Χριστίνα ἡ ἐκ Περσίδος μαστιζομένη τ. (Mart. 14[5]). — **Mv** : 1. — Οὐρπασιανοῦ. — Σαβίνου. — 2 (... σύναξις ἐν τῷ Παυλοπετρίῳ). — Ἄβιβος. — Χριστίνη. — **Mr** : 1.

Mart. 14. SYNAXARIA SELECTA. **H** : 1. 3 (Σατορνίνου, Ῥευκάτου, Περπετούας καὶ Φιληκητάτης). — 5. — **P** : 1. 3 (Σατουρνίνου, Περπετούας, Φιλήτης). — 5. — **D** : Ἀλεξάνδρου τοῦ ἐν Πύδνῃ (Mart. 13[4]). — 1. 3. 5. — **Da** : Ἀλεξάνδρου. — 2. 1. 3. — **Db** : Ἀλεξάνδρου. — 2. 1. — **K** : Ἀλεξάνδρου. — 2. 1. 3. — **N** : Ἀλεξάνδρου. — 1. 2. — **Bb** : 1 (Βενεδίκτου ἀρχιμανδρίτου Ῥώμης). — 2. 3. — **Bc** : 2. 3. — Ἀλεξάνδρου. — **C** : 1. 2. — **Cd** : deest. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — **R** : Ἀλεξάνδρου. — **Ra** : Ἀλεξάνδρου. — 1. — **Rb** : deest. — **Rc** : Ἀλεξάνδρου. — 2. 1. — **Mc** : Ἀλεξάνδρου. — 1. 2. — **Mv** : Ἀλεξάνδρου. — 2. — **Mr** : 1.



## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

Mart. 15. 1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀγαπίου[1], Ἀλεξάνδρων δύο, Διονυσίων δύο, Τιμολάου, Ῥωμύλου καὶ Πλησίου. Οὗτοι ὑπῆρχον κατὰ[2] τοὺς καιροὺς Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ[3]. Ὁ μὲν ἅγιος Ἀγάπιος ἀπὸ Γάζης τῆς πόλεως τῆς κατὰ Φοινίκην[4], Τιμόλαος δὲ ἐκ τοῦ Πόντου[5], Διονύσιοι δὲ[3] ἐκ Τριπόλεως τῆς ἐν Φοινίκῃ. Ὁ δὲ Ῥωμύλος ὑποδιάκονος ἦν[3] τῆς ἐν Διοσπόλει ἐκκλησίας· ὁ δὲ Πλησίος καὶ οἱ δύο Ἀλέξανδροι ἐξ Αἰγύπτου ἐτύγχανον. Οὗτοι πρῶτον μὲν τὰς ψυχὰς τῷ πρὸς Χριστὸν συνδήσαντες πόθῳ, ἔπειτα δὲ τὰς χεῖρας ὑποβαλόντες[6] κλοιοῖς, Οὐρβανῷ τῷ τῆς Καισαρέων πόλεως[8] ἡγεμόνι προσῆλθον, χριστιανοὺς ἑαυτοὺς προσαγγέλλοντες. Ὁ δὲ μήτε ἀπειλαῖς μήτε κολακείαις χαυνῶσαι αὐτοὺς δυνηθεὶς τῆς τοῦ Χριστοῦ[7] πίστεως ἀποστῆσαι, ξίφει τὰς κεφαλὰς αὐτῶν ἀφαιρεθῆναι[8] προσέταξεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Νικάνδρου. Ὃς καὶ αὐτὸς[1] ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ ἦν[2]. Τῇ εὐσεβείᾳ δὲ συντεθραμμένος[3] ἔργον εἶχε τὸ τὰ τῶν ἁγίων[4] λείψανα κρυφίως αἴρειν καὶ σεβασμίως καὶ ἐντίμως καταστέλλειν. Καί ποτε ἰδὼν καὶ τὰ τῶν ἀναγορευθέντων[5] ἁγίων λείψανα ἐρριμμένα[6] οὕτω καὶ ἀνεπιμέλητα, νυκτὸς ἀπελθὼν καὶ ἀνελόμενος[7] καὶ καταθέμενος ταῦτα[8] ἔν τινι τόπῳ αἰσίως τε καὶ κοσμίως, θεαθεὶς ὑπό τινος τῶν εἰδωλολατρῶν, διεβλήθη τῷ

1. — [1] Ἀγαπίου, Πλησίου, Τιμολάου *etc.* Mc. — [2] Mc, ἐπὶ S. — [3] *om.* Mc. — [4] (Γάζης - Φοινίκην) τῆς π. Γάζης Mc. — [5] οἱ δύο *add.* Mc. — [6] ὑποβαλλόντες S. — [7] καὶ τῆς εἰς Χριστὸν Mc. — [8] ἀποτμηθῆναι Mc.

2. — [1] N. τοῦ Αἰγύπτου καὶ οὗτος ὁ ἅγιος Mc. — [2] ἦν Δ. Mc. — [3] καὶ τῇ τῶν μαρτύρων ἀγάπῃ συνδεδεμένος *add.* Mc. — [4] (τὸ - ἁγίων) τὰ τούτων Mc. — [5] ἰδὼν τὰ τῶν ἀναιρεθέντων Mc. — [6] ἔρρημα S. — [7] ταῦτα *add.* Mc. — [8] *om.* Mc.

---

Mart. 15. SYNAXARIA SELECTA. **H** : 1. 2. 3. — **P** : 1. 2. 3. — **D** : 1. 2. 3. — Τοῦ ὁσίου Ἰωάννου τοῦ ἐν Ῥουφινιαναῖς. — **Da** : 1. 2. 3. — Ἰωάννου. — **Db** : 1. 2. 3. — Ἰωάννου. — **K** : 1. 2. 3. — Ἰωάννου. — **N** : Πιονίου (Mart. 11[3]). — 2. 3. — Ἰωάννου. — **Bb** : 1. 2. 3. — **Bc** : 1. 2. — Τοῦ ἁγίου ἀποστόλου Νικάνδρου. — Ἰωάννου. — **C** : 1. 2. 3. — **Cd** : deest. — **Ce** : 1. 2. 3. — **Cg** : 1. 2. 3. — **R** : Πιονίου. — 1. — **Ra** : 1. 2. 3. Ἰωάννου. — Εὐσχήμονος (Mart. 14[2]). — **Rb** : deest. — **Rc** : 1. 2. 3. — Ἰωάννου. — **Mc** : 1. 2. — Μενίγνου τοῦ κναφέως. Ἐπὶ τῆς βασιλείας Δεκίου διωγμὸς μέγας γέγονε κατὰ τῶν χριστιανῶν. Τότε ὁ τὴν ἐπαρχίαν τῆς Ἀσίας ἐγκεχειρισμένος λοιμὸς ὢν αὐτόχρημα καὶ τὴν γνώμην θηριώδης ἐπὶ τὴν παράλιον κατῄει, καὶ ὅσους εὗρε χριστιανοὺς πάντας μαστιγώσας τῷ ξύλῳ ἀσφαλισάμενος εἱρκτῇ σκοτεινῇ καθεῖρξε. Νυκτὸς δὲ καταλαβούσης, μιᾷ φωνῇ πρὸς τὸν Θεὸν ἐβόησαν ἅπαντες· « Δέσποτα κύριε, ὁ τὸν κορυφαῖόν σου Πέτρον ποτὲ δι' ἀγγέλου λύσας τῶν δεσμῶν καὶ τῆς » φυλακῆς ἐξαγαγὼν αὐτὸν ἀψοφητί, αὐτὸς καὶ νῦν ἐφ' ἡμᾶς ἐξαπόστειλον τὴν βοήθειάν σου καὶ ἐξελοῦ » ἡμᾶς ἐκ τῆς συνεχούσης στρεβλώσεως καὶ ζοφώδους φυλακῆς, ἵνα γνῶσι καὶ οὗτοι τὸ σὸν ἅγιον » ὄνομα, ὅτι σὺ μόνος Θεὸς καὶ βασιλεὺς προαιώνιος. » Ταῦτα αὐτῶν προσευξαμένων, ἐπέστη ὁ τῶν ἐκδικήσεων Κύριος, καὶ φωτὸς τὴν φυλακὴν περιαστράψαντος ἀπηλάθη τὸ σκότος· καὶ « Θαρσεῖτε » εἰπόντος « καὶ μὴ φοβεῖσθε· μεθ' ὑμῶν γάρ εἰμι, » εὐθέως πάντα τὰ δεσμὰ ὡσεὶ κηρὸς διελύθησαν, καὶ ἡ φυλακὴ αὐτομάτως ἠνεῴχθη. Καὶ ὁ Κύριος προσθεὶς καὶ τό· « Πορεύεσθε ἐκ τῶν ὧδε κηρύττοντες » πανταχοῦ τὴν ἐμὴν δυναστείαν, » οὗτος μὲν εἰς οὐρανοὺς ἄνεισιν, οἱ δὲ τῆς φυλακῆς ἐξῄεσαν. Καὶ πρωΐας ἐλθόντες οἱ τῆς τάξεως ἅπαντες, ὡς εἶδον σώας μὲν τὰς σφραγῖδας τῆς φυλακῆς, ἐντὸς δὲ μηδένα εὑρόντες, ἐξέστησαν. Καὶ ἐξιόντες· « Ὢ τῆς βίας » ἐβόων· « ὁ Ναζωραῖος Χριστὸς ἐλθὼν νυκτὸς » ἔκλεψε τοὺς δεσμίους. » Καὶ οἱ μὲν ἐθαύμαζον τῷ γεγονότι, οἱ δὲ κατεγέλων τοὺς φύλακας. Ταῦτα ἀκούσας ὁ μακάριος Μένιγνος, πλήρης γέγονε πίστεως καὶ ἀγάπης. Κναφεὺς δὲ ὢν καὶ τὸν ῥύπον τῶν ἱματίων αὐτοῦ ποτε ἐν τῷ ποταμῷ ἀποπλύνων, ἤκουε φωνῆς λεγούσης αὐτῷ· « Μένιγνε, ἐλθὲ πρὸς μὲ » καὶ δώσω σοι χάριν πολλήν. » Ἔμφοβος δὲ γενόμενος ἐταράχθη. Καὶ μετὰ μικρὸν κύψας εἰργάζετο, καὶ πάλιν φωνὴ πρὸς αὐτόν· « Μένιγνε, ἐλθὲ πρὸς μέ, ὅπως θεάσῃ τὰ ἀποκείμενα ἀγαθὰ τοῖς ἀγαπῶσι » τὸ ἐμὸν ὄνομα. » Ὁ δὲ Μένιγνος μὴ προσθεὶς ἑτέρας ἀκοῦσαι φωνῆς, ἀπελθὼν δέδωκεν εὐθὺς ὅσα κατεῖχεν ἀλλότρια ἱμάτια. Καὶ ἡτοίμασεν ἑαυτὸν ἐκδεχόμενος τὸν ἄρχοντα. Καὶ μεθ' ἡμέρας τινὰς καταλαβόντος τοῦ ἄρχοντος καὶ προκαθίσαντος ἐπ' ἀκροάσει τῶν συνελθόντων, τὸ τοῦ βασιλέως περὶ τοῦ δόγματος ὑπανεγίνωσκε πρόσταγμα. Τότε ὁ θεῖος οὗτος Μένιγνος θάρσους πλησθεὶς μέσον τε εἰσπηδήσας, καὶ τὰ τοῦ βασιλέως ἁρπάσας γράμματα ἐκ τῶν χειρῶν τοῦ ἄρχοντος καὶ εἰς λεπτὰ κατακόψας, κατεπάτησεν εἰπών· « Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ μου ἐπὶ ἀσπίδα καὶ βασιλίσκον (Ps. 90, 13.) » ἐπιβήσομαι καὶ καταπατήσω λέοντα καὶ δράκοντα καὶ παράνομα Δεκίου προστάγματα. » Ταῦτα ὡς εἶδον καὶ ἤκουσαν οἱ τοῦ παρανόμου παρανομώτεροι ὑπηρέται, χαμαὶ τοῦτον ῥίψαντες κατεπάτουν τύπτοντες ἀφειδῶς. Καὶ ὅτε σφοδρῶς αὐτὸν τύψαντες ἡμιθνητον ἀπειργάσαντο, ἀναστήσας ὁ ἄρχων εἶπε πρὸς αὐτόν· « Ὦ κακὴ κεφαλή, τίνι θαρρῶν τοῦτο πεποίηκας; » Ὁ ἅγιος εἶπε· « Τῷ Χριστῷ μου. » Καὶ ὁ ἄρχων· « Τοῦτον τὸν μωρόν, φησί, καὶ θρασυκάρδιον καὶ αὐθάδη ἐπὶ ξύλου κρεμάσαντες ξέσατε » εὐτόνως τὰς σάρκας αὐτοῦ καὶ ἴδωμεν εἰ ἔλθῃ ὁ Χριστὸς αὐτοῦ σῶσαι αὐτόν. » Εὐθέως δὲ κρεμάσαντες αὐτὸν τοσοῦτον κατέξεσαν αὐτὸν οἱ ἄνομοι ταῖς χειράγραις, ὡς καὶ τὰ ὑπογάστρια αὐτοῦ ἅπαντα διὰ τῶν πλευρῶν τοῖς ἔξωθεν καθορᾶσθαι. Καὶ ὁ μὲν ἄρχων ἐν τούτοις πᾶσι θεομαχῶν ἦν καὶ βλασφημῶν ἐν τῇ ὑπομονῇ τοῦ μάρτυρος. Ὁ δὲ ἅγιος ἐκαρτέρει προσευχόμενος καὶ τὸν τύραννον

Mart. 15. ἄρχοντι. Καὶ κρατηθεὶς καὶ παρρησίᾳ τὸν Χριστὸν κηρύξας Θεὸν ἀληθινὸν ἀπετμήθη τὴν κεφαλήν[9].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἀριστοβούλου ἑνὸς τῶν ἑβδομήκοντα[1], ἀδελφοῦ τοῦ ἁγίου Βαρνάβα τοῦ ἀποστόλου. Οὗτος f. 180v. μετὰ τὴν | ἔνδοξον καὶ σωτήριον ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[2] ἠκολούθει[3] τῷ ἁγίῳ ἀποστόλῳ Παύλῳ κηρύττοντι τὸ εὐαγγέλιον εἰς πᾶσαν τὴν οἰκουμένην, διακονῶν αὐτῷ· ὑφ' οὗ καὶ χειροτονεῖται ἐπίσκοπος εἰς τὴν χώραν τῶν Βρεττανῶν[4], ἀγρίων ἀνθρώπων καὶ ὠμοτάτων. Παρ' ὧν ποτὲ μὲν τυπτόμενος, ποτὲ δὲ κατὰ τῆς ἀγορᾶς συρόμενος, πολλοὺς ἐποίησε[5] προσελθεῖν τῷ Χριστῷ[6]· ὅθεν καὶ ἐκκλησίαν συστησάμενος καὶ πρεσβυτέρους καὶ διακόνους ἐν αὐτῇ καταστήσας ἐτελειώθη.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙϚ'.

Mart. 16. 1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πάπα. Οὗτος ναυαγοῦσαν ὁρῶν τὴν οἰκουμένην, παραστὰς τῷ ἄρχοντι καὶ τοῦτον καταισχύνας τῇ πολλῇ πρὸς Χριστὸν παρρησίᾳ, τύπτεται ῥάβδοις τὰς σάρκας, εἶτα τὸ πρόσωπον, καὶ μετεωρισθεὶς πρὸς[1] ὕψος σπαράττεται[2] σιδηροῖς ὄνυξι, καὶ κρηπῖσι κατηλωθεὶς τοὺς πόδας[3] τόπους ἐλαύνεται μακρούς. Καὶ αὖθις δένδρῳ ἀκάρπῳ προσδεθεὶς[4] καρποφόρον ἀποτελεῖ, ἐν αὐτῷ τελειωθείς. Καὶ ἡ Λυκαόνων δὲ[5] τὸ λείψανον αὐτοῦ κατέχουσα[6] γάννυται.

— [9] Θ. ἀ. κηρύξας τὴν δορὰν ἀφαιρεθεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο Mc.
3. — [1] ἑνὸς τῶν ο' *om.* Mc, *ad. d. 16 martii.* — [2] (μετὰ - Χριστοῦ) εἷς τῶν ἑβδομήκοντα ἦν μαθητῶν Mc. — [3] δὲ *add.* Mc. — [4] τῶν Β. χ. Mc, Βραιττανῶν S. — [5] ἔπεισε Mc. — [6] τ. Χ. π. Mc.
1. — [1] εἰς Mc. — [2] σπαράττε S. — [3] εἰς *add.* Mc. — [4] π. ἀ. δ. Mc. — [5] κατέχουσα *add.* Mc. — [6] *om.* Mc.

---

Mart. 15. ἐνυβρίζων. Τότε μανεὶς ὁ ἄρχων εἶπε· « Τοὺς τὸ πρόσταγμα δακτύλους τοῦ βασιλέως κατακόψαντας » εἰς λεπτὰ κελεύω ἐκτμηθῆναι. » Καὶ εὐθέως τοὺς δέκα δακτύλους τῶν χειρῶν αὐτοῦ ἐξεθέρισαν ἐκ τῶν ἔσω ἁρμῶν· καὶ ἐξῆλθεν ἀντὶ αἵματος γάλα. Καὶ καθείρξας ἐν τῇ φυλακῇ, τῇ ἐπαύριον ἔστησεν αὐτὸν εἰς ἐρώτησιν. Ὁ δὲ ἅγιος τὸν Χριστὸν ὁμολογήσας ἐνώπιον πάντων καὶ τὸν βασιλέα ἀναθεματίσας καὶ τὸν ἄρχοντα καθυβρίσας, ἐξέπληξεν ἅπαντας καὶ ξίφει τὴν κεφαλὴν αὐτοῦ ὡρίσθη ἀποτμηθῆναι. Ἀπερχομένου δὲ πρὸς τὸν τῆς τελειώσεως τόπον, ἠκολούθει αὐτῷ κλαίουσα ἡ γυνὴ αὐτοῦ καὶ ὄχλος πολύς· καὶ καταλαβὼν τὸν τόπον ὁ ἅγιος ἔστη ἐφ' ὑψηλοῦ, καὶ κατηχήσας τὸν λαὸν καὶ τοῖς ἐπιτρόποις τὴν γυναῖκα παραθέμενος τὴν ἱερὰν ἀπετμήθη κεφαλήν. Ὤφθη δὲ τοῖς παροῦσι θαῦμα ἐξαίσιον. Εἶδον γὰρ ὡς τρυγόνα καθαρὰν ἐκ τοῦ στόματος τοῦ ἁγίου ἐξελθοῦσαν καὶ εἰς οὐρανοὺς ἀναπτᾶσαν καὶ κατεπλάγησαν λέγοντες· « Μέγας ἀληθῶς ὁ τοῦ Μενίγνου Θεός. » Ἀπὸ δὲ τῆς κραυγῆς τοῦ λαοῦ ἐσείσθη πᾶσα ἡ πόλις, ὡς καὶ τὸν ἀνθύπατον δειλιᾶσαι. Ὡς δὲ καὶ τῆς κραυγῆς τὴν αἰτίαν ἔμαθεν· « Ἄφετε αὐτὸν ἄταφον, » εἶπε « καὶ ἴδωμεν εἰ ὁ Θεὸς αὐτοῦ θάψει αὐτόν. » Καὶ παρέστησαν φύλακας φυλάττειν αὐτοῦ τὸ λείψανον. Νυκτὸς δὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐλθόντες, πάντων κοιμωμένων, ἀνελάβοντο τὸ ἅγιον λείψανον· καὶ τὸν τόπον καταλαβόντες, ὃν ἐπόθει ὁ ἅγιος, πρὸς ὕπνον ἐτράπησαν. Καὶ ἐφάνη τινὶ τῶν ἀδελφῶν ὁ ἅγιος λέγων· « Τῆς κεφαλῆς μου, δι' ἧς τὸν Χριστὸν ὡμολόγησα, σπου» δάζοντες ἐπελάθεσθε· ἀλλ' ὑπόστρεψον καὶ λάβε αὐτὴν μηδένα φόβον ὑφορώμενος. » Ἔξυπνος δὲ γενόμενος εἶπε τοῖς σὺν αὐτῷ τὰ λαληθέντα· καὶ ὑποστρέψας, σκοτίας βαθείας οὔσης, ἠπόρει τί ποιῆσαι. Καὶ φθάσας τὸν τόπον, ἄστρον εἶδε λάμπον ἐπάνω τῆς κεφαλῆς τοῦ μάρτυρος· καὶ λαβὼν αὐτὴν ὑπέστρεψε μετὰ χαρᾶς πρὸς τοὺς ἀδελφούς. Καὶ μελλόντων αὐτῶν περαιτέρω πορεύεσθαι, ὁ μάρτυς ἐν αὐτῷ τῷ τόπῳ κατατεθῆναι τὸ τίμιον αὐτοῦ σῶμα ἐπέσκηψεν, εἰς δόξαν τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· ἀμήν (cf. Nov. 22[4], Mart. 16[3]). — **Mv** : 1. 3. 2. — Μενίγνου. — **Mr** : 1.

Mart. 16. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. — **P** : 2. 4. — **D** : 1. 2. 3. 4. — **Da** : 1. — Τῆς ἁγίας μάρτυρος Εὐφρασίας (Mart. 14[4]). — 3. 4. 5. — **Db** : 1. — Εὐφρασίας. — 3. 4. 5. — **K** : 1. — Εὐφρασίας. — 3. 4. 5. — **N** : 1. 3 : Μενίγνου τοῦ κναφέως. Οὗτος ὥρμητο ἐκ πόλεως Παρίου τοῦ Ἑλλησπόντου· ὁ δὲ τρόπος τῆς μαρτυρίας αὐτοῦ γέγονεν οὕτως... Des. : τοῦ σώματος αὐτοῦ ἐξελθοῦσα ὤφθη καὶ ἀνέπτη πρὸς οὐρανόν· ἐφ' ᾧ πολλοὶ ἐπίστευσαν καὶ προσετέθησαν τῷ Χριστῷ. — **Bb** : 2. — Ἀριστοβούλου (Mart. 15[3]). — 3. 1. — **Bc** : 2. — Ἀριστοβούλου. — 3. 1. — Εὐφρασίας. — 4. 5. — **C** : 2. 3. 4. — **Cd** : deest. — **Ce** : Σαβίνου (Mart. 13[3]). — **Cg** : 2. 3. 4. — **R** : 1. — **Ra** : 3 (Μενίγνου). — 1. — Εὐφρασίας. — 3 (Ῥωμανοῦ). — 4. 5. — **Rb** : 1. — Εὐφρασίας. — 3. 4. 5. — **Rc** : 1. — Εὐφρασίας. — 3. 4. 5. — **Mc** : 1. — Ἀριστοβούλου. — Ἀνίνα. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀνίνας ἐκ νεαρᾶς ἡλικίας ἄνευ μαθήσεώς τινος τὴν πραότητα καὶ τὴν ἡσυχίαν ἀγαπήσας εἶχεν ἐν ἑαυτῷ. Πεντεκαίδεκα δὲ ἐτῶν γενόμενος, ἀπορφανισθεὶς ἐκ τῶν γεννητόρων αὐτοῦ καὶ καταλιπὼν πάντα, ἀνῆλθεν εἰς τὴν ἔρημον· καὶ εὑρὼν μοναχόν τινα, Μαιουμᾶν οὕτω καλούμενον, ἀκτημοσύνην ὑπερβάλλουσαν ἔχοντα, παρ' αὐτῷ ἦν ἀγρυπνῶν καὶ προσευχόμενος. Τοσαύτη δὲ ἦν ἐγκράτεια παρ' αὐτοῖς, ὥστε πολλάκις δι' ἔνδειαν τῶν ἀναγκαίων διὰ τεσσαράκοντα ἡμερῶν ἤσθιον· καὶ ἐπὶ τοσαύτῃ στενώσει ὑπάρχοντες, ὡς ἐπὶ βασιλικῆς τραπέζης καθ' ἑκάστην ἤσθιον, οὕτως ἥδοντο. Καὶ μετὰ χρόνον τινὰ ὁ τούτου διδάσκαλος ἠθέλησεν ἀναχωρῆσαι ἐκεῖθεν· ὃ καὶ πεποίηκεν. Οὗτος δὲ ὁ μακάριος πρὸς αὐτὸν εἰπών· « Συγχώρησον, πάτερ τίμιε, ὅτι οὐκ ἔστι μοι καταθύμιον ὑπαναχωρῆσαι ἐντεῦθεν, ὁδηγηθεὶς » ἐλθεῖν παρὰ Θεοῦ, » ἔμεινεν ἐκεῖσε. Ἐξήρχετο δὲ πολλάκις καὶ πρὸς τὴν ἐσωτέραν ἔρημον ἐπὶ εἴκοσιν ἢ καὶ τριάκοντα ἡμέρας, καὶ πάλιν ὑπέστρεφεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ ὑποτάξας τὰ πάθη τῆς σαρκὸς



2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ. Οὗτος ἦν ἐκ τῆς Ἀναζαρβέων[1] πόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας, υἱὸς βουλευτοῦ τινος, μητρὸς δὲ χριστιανῆς. Παρ' ἧς τὴν κατὰ Χριστὸν εὐσέβειαν μεμαθηκὼς καὶ τῇ μελέτῃ τῶν θείων σχολάσας γραφῶν, ἐν τῷ ὀκτωκαιδεκάτῳ χρόνῳ τῆς ἡλικίας[2] Μαρκιανῷ προσήχθη τῷ ἡγεμόνι. Καὶ μὴ καταδεξάμενος θῦσαι τοῖς εἰδώλοις, ἐν διαφόροις μέρεσι τοῦ σώματος τύπτεται· εἶτα ἐν τῇ φρουρᾷ τεθεὶς τῇ μητρὶ συμβούλῳ χρησάμενος καὶ ἐμμένειν εἰπὼν καὶ ἐναποθνήσκειν τῇ πίστει τῇ εἰς Χριστόν, ἐν σάκκῳ βληθεὶς μεστῷ[3] ψάμμου καὶ ἑρπετῶν ἰοβόλων, μέσον τοῦ πελάγους ἀφίεται, καὶ οὕτω τὸν τοῦ μαρτυρίου στέφανον δέχεται. Mart. 16.

2. — [1] Ἀναζαρβαίων S. — [2] αὐτοῦ *add.* D. — [3] μεστὸν D.

---

ἐδέξατο, ὡς ἔοικεν, ἀντιμισθίαν τὴν τῶν ἀγρίων θηρῶν ὑποταγήν· καὶ δῆλον ὅτι καὶ δύο λέοντες ἠκολούθουν αὐτῷ πανταχοῦ. Καὶ ἀκάνθης τραχείας ἐμπαγείσης ποδὶ τῶν λεόντων ἑνός, ὁ μακάριος ταύτην ἐκβαλὼν καὶ τὸν πόδα ἀσφαλῶς καταδήσας ὑγιῆ ἀπειργάσατο. Τῆς φήμης δὲ διαδραμούσης, προσήρχοντο πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, καὶ τοὺς ἀσθενεῖς μεθ' ἑαυτῶν ἔχοντες· καὶ ὃς τῇ ἐνοικούσῃ αὐτῷ θείᾳ χάριτι καὶ μόνῃ προσευχῇ ἰᾶτο πάντας οἱῳδήτινι κατησχυμμένους[1] νοσήματι. Ἐάσας οὖν τὸ εἰσέρχεσθαι ἐν τῇ ἐρήμῳ, ἐν τῷ κελλίῳ ἦν προσμένων· ὕδωρ δὲ οὐκ ἦν προσεχὲς ἀλλ' ἐκ τοῦ ποταμοῦ Εὐφράτου διεκομίζετο ἀπὸ τεσσάρων ἢ πέντε σχεδὸν μιλίων. Καὶ πρώην μὲν σπανίως διεκομίζετο, ὅτι καὶ μικρὰ χρῆσις τούτου ἦν. Ὁπηνίκα δὲ τὸ τῶν προσερχομένων πλῆθος δι' ὄχλου τῷ ἁγίῳ γέγονεν, ἀναγκαίαν εἶναί οἱ καὶ τὴν τοῦ ὕδατος χρῆσιν εἰς πόσιν ἐπέτρεπε, καὶ μικρόν τι δοχεῖον πρὸς ὑποδοχὴν ὀμβριμαίου ὕδατος κατεσκεύασεν. Ἀλλὰ καὶ τοῦ τοιούτου δοχείου ποτὲ πλήθους ὄντος καὶ ὑπὸ τοῦ πλήθους ἐξαντληθέντος, προσρυέντος δὲ καὶ ἑτέρου πλήθους καὶ τοῦ διακονητοῦ ἐπιταγέντος ἀντλῆσαι ὕδωρ, καὶ ὡς ἤκουσε μηδὲ τὴν κύλικα δυνατὸν γεμισθῆναι διὰ τὸ ἐκφορηθῆναι ἅπαν τὸ ὕδωρ, τὸ ὄμμα εἰς οὐρανὸν ἀνατείνας καὶ στενάξας βαθὺ ἐν ἱλαρῷ τῷ προσώπῳ λέγει· « Ἄπελθε, τέκνον, ἐν » ὀνόματι τοῦ Κυρίου· ἐγώ σοι ἐπιτάσσω, καὶ ἀντλήσας διακόμισον. » Πεισθεὶς οὖν, ὢ τοῦ θαύματος, καὶ ἀπελθών, εὗρε τὸν λάκκον πεπληρωμένον ὕδατος καί· « Πάντες ἴδετε » τοῦ διακονητοῦ προσειπόντος « πρᾶγμα ἐξαίσιον, » εἰσπηδήσαντες καὶ ψυχροῦ καὶ διειδεστάτου ἐμφορηθέντες νάματος, ἐξέστησαν καὶ τῷ Θεῷ τὴν εὐχαριστίαν ἀνέπεμπον τῷ δοξάζοντι τοὺς ἀγαπῶντας αὐτόν. Τοῦτο οὖν τὸ θαῦμα θέλων ὁ ἅγιος συσκιάσαι, αὐτὸς δι' ἑαυτοῦ κομίζειν τὸ ὕδωρ ἀπὸ τοῦ Εὐφράτου ποταμοῦ συνεβουλεύσατο, καθὼς καὶ πρώην ἦν ποιῶν· καὶ πάσας μὲν τὰς νύκτας ἔργον ἦν αὐτῷ ἀπαραίτητον ἡ τοῦ ὕδατος μετακομιδὴ καθ' ἑαυτὸν τὰς εὐχὰς ὑποψιθυρίζοντι. Ἔστιν ὅτε καὶ ἐν ἡμέραις τοῦτο ἐποίει ἑτέρῳ μὴ παραχωρῶν. Καί ποτε πάλιν λαοῦ πολλοῦ προσρυέντος καὶ πᾶν ὕδωρ ἐξαντλήσαντος, ὁ γέρων τὸ κεράμιον λαβὼν πρὸς τὸν ποταμὸν ἔτρεχε· καὶ μήπω λίθου βολὴν ἀπιὼν αὖθις ὑπέστρεφε. Νομίσαντες οὖν οἱ ἐκεῖσε τότε παρευρεθέντες δι' ἀσθένειαν ὑποστρέφειν τὸν γέροντα, ἔδραμον εἰς ἀπαντὴν αὐτοῦ. Καὶ λαβὼν εἷς τὸ κεράμιον ἐκ τῶν χειρῶν αὐτοῦ πρὸς μετακομιδὴν ὕδατος, ἰδὼν αὐτὸ πλῆρες ἀνεβόησε λέγων μεγάλῃ τῇ φωνῇ· « Δότε πάντες δόξαν τῷ Θεῷ, ὅτι οἱ βραχίονες τοῦ γέροντος ὕδωρ » ζῶν ἀναβλύζουσι. » Δραμόντες οὖν ἅπαντες εἰς τὸ κεράμιον καὶ ἰδόντες πεπληρωμένον ὕδατος ψυχροῦ, ἐξεπλάγησαν καὶ ἤρξαντο κυλιόμενοι παρὰ τοὺς πόδας αὐτοῦ δυσωποῦντες ἀποσχέσθαι τοῦ τοιούτου ἔργου καὶ μὴ δι' αὐτοὺς τοσοῦτον κόπον ὑφίστασθαι· « Εἰ μὴ γὰρ τὸ θαῦμα γέγονεν, » ἔλεγον, « πάντως ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου τὴν τοῦ ὕδατος μετακομιδὴν ποιήσασθαι ἔμελλες. » Ὁ δὲ καὶ αὐτὸς τῇ γῇ ἑαυτὸν προσκαταβαλὼν γῆν καὶ σποδὸν καὶ σκώληκα καὶ παντὸς ἐξουθένημα ἑαυτὸν ἀπεκάλει· καὶ οὕτω μόλις κατέπαυσεν αὐτούς. Τότε Πατρίκιος ὁ Καισαρείας ἐπίσκοπος ἀκηκοὼς ὅτι ὁ ἅγιος δι' ἑαυτοῦ τὸ ὕδωρ κομίζει, ζῷον ἀχθοφόρον εἰς ἀπαλλαγὴν τοῦ γέροντος δέδωκε. Πένης δέ τις ὀχλούμενος ὑπὸ τοῦ δανειστοῦ αὐτοῦ τῷ γέροντι προσελθὼν τὴν ἑαυτοῦ ἀνεδίδασκε συμφοράν. Ὁ δὲ μή τι ἕτερον ἔχων τὸν ὄνον δούς· « Πώλησον, εἶπε, τέκνον, καὶ δοὺς τὸ χρέος ἀπαλλάγηθι. » Τοῦτο μαθὼν ὁ ἐπίσκοπος ἕτερον αὖθις δέδωκεν εἰπών· « Τοῦτο οὐ κατὰ χάριν σοι δίδωμι, ἀλλ' ἵνα κομίζῃ τὸ » ὕδωρ· καὶ ὅτε μοι χρεία γένηται, ἀναλήψομαι τοῦτο. » Ἕτερος δὲ πάλιν μετ' οὐ πολὺ προσαίτης ἐλθὼν ἐξ ἀπορίας τοῦ ἁγίου τὸν ὄνον ἔλαβε. Καὶ μαθὼν τοῦτο ὁ ἐπίσκοπος ἐγχώρηγον δοχεῖον μέγα κατεσκεύασε μέχρι τοῦ νῦν σωζόμενον· ὅπερ καὶ δι' ἀποστολῆς ἀχθοφόρων ζῴων πληρῶν ὕδατος, ὑποστρέφειν πρὸς ἑαυτὸν πάλιν τοῖς ὑπηρέταις ἐπέταττε[2]. Στυλίτης δέ τις ἦν ἐν τῇ χώρᾳ ἐκείνῃ περιβόητος καὶ ἐκ διαβολικῆς ἐνεργείας μαχεσάμενος μετά τινος, ὡς καὶ λίθον ἀπορριφῆναι κατ' αὐτοῦ, συνέβη κἀκ τούτου πληγῆναι. Εἰς ἐκδίκησιν οὖν τοῦ τολμήματος ὁρμῆσαι βουληθείς, ἐφ ᾧ καὶ τοῦ στύλου κατελθεῖν καὶ τοὺς ἀτακτήσαντας ἀξίως ἀμύνασθαι, ὁ τοῦ Θεοῦ ἄνθρωπος ὄντως Ἀνίνας τοῦτο προγνοὺς ἐκ Πνεύματος ἁγίου, γράψας ἀπέστειλε τὸν χάρτην διὰ θηρὸς λέοντος· ὃν ἰδὼν ὁ στυλίτης ἔμφοβος γενόμενος ἐξεπλάγη. Ὁ γοῦν μαθητὴς λαβὼν τὴν ἐπιστολὴν τῷ στυλίτῃ δέδωκεν· ὃς καὶ ἀναγνοὺς κατενύγη, καὶ ἀναθεὶς τὴν ἐκδίκησιν τῷ Θεῷ, ἀντέγραψε τῷ μακαρίῳ διὰ τοῦ λέοντος, πολλὰ τῷ Θεῷ καὶ τῷ πιστῷ αὐτοῦ θεράποντι ἐπευχαριστῶν[3]. Γυνὴ δέ τις ἔχουσα νόσημα χαλεπὸν ἀνήρχετο πρὸς τὸν ἅγιον. Συναντήσας δὲ αὐτῇ βάρβαρος ἐπειρᾶτο ἃ ἐπεφέρετο λαβεῖν. Τῆς δὲ μηδὲν ἐχούσης, ἐβιάζετο τελευταῖον τὴν γυναῖκα πρὸς αἰσχρὰν μῖξιν· ἡ δὲ τὸν ἅγιον εἰς βοήθειαν ἐπικαλεσαμένη, εὐθέως Mart. 16.

[1] κατισχημένους Mc. — [2] ὑπέτατε Mc. — [3] ἀπευχαριστῶν Mc.

Mart. 16.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ῥωμανοῦ καὶ Μενίγνου τῶν ἐν τῷ Παρείῳ.

4. Καὶ μνήμη τοῦ ἐν ἁγίοις Ἀλεξάνδρου πάπα Ῥώμης.

5. Καὶ Τροφίμου καὶ Θάλλου.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖʹ.

Mart. 17.

1. Μνήμη τοῦ ἁγίου Ἀλεξίου τοῦ ἐπονομαζομένου ἀνθρώπου τοῦ Θεοῦ. Οὗτος ἦν ἐκ τῆς πρεσβυτέρας Ῥώμης, υἱὸς Εὐφημιανοῦ πατρικίου, καὶ μητρὸς Ἀγλαΐδος, πλουσίων καὶ εὐγενῶν, οἳ καὶ πρὸς γάμον αὐτὸν[1] ἐξέδωκαν. Κατὰ δὲ τὸν καιρὸν ὃν ἔδει τῇ νύμφῃ προσομιλῆσαι, δοὺς αὐτῇ τὸν ἀρραβωνικὸν δακτύλιον, ἐξῆλθε τοῦ οἴκου καὶ τὴν πόλιν Ἔδεσαν καταλαβὼν προσέμεινε τῇ ἐκκλησίᾳ ἔτη δέκα καὶ ὀκτὼ ἐν πενιχροῖς ἱματίοις. Γνωσθεὶς δὲ διὰ τὴν ἀρετὴν αὐτοῦ, πλειόνων[2] συν-

f. 181.

τρε|χόντων εἰς αὐτόν, ὑπεχώρησεν ἐκεῖθεν, μέλλων εἰς Ταρσὸν τῆς Κιλικίας καταίρειν ἐν τῷ ναῷ τοῦ ἁγίου Παύλου. Ταύτης μὲν τῆς ἐφέσεως οὐκ ἔτυχε, τῆς νηὸς πνεύμασιν ἐναντίοις ἑλκυσθείσης ἑτέρωθεν· παραγενόμενος δὲ ἐν τῇ Ῥώμῃ, κατέλαβε τὸν οἶκον τοῦ ἰδίου πατρός. Καὶ ἀγνοηθεὶς τῷ πυλῶνι προσεκαρτέρει βλέπων τὸν πατέρα καὶ τὴν μητέρα καὶ τοὺς οἰκέτας εἰσερχομένους καὶ ἐξερχομένους ἐν τῷ πυλῶνι καὶ ἐμπαιζόμενος καὶ ὑβριζόμενος ὡς ξένος καὶ πτωχὸς ἐν τῷ ἰδίῳ οἴκῳ ὑπὸ τῶν δούλων αὐτοῦ, καίτοι τῶν γονέων καὶ τῆς σώφρονος αὐτοῦ γυναικὸς σφόδρα λυπουμένων καὶ κλαιόντων διαπαντὸς περὶ αὐτοῦ. Τῆς δὲ τελευτῆς αὐτοῦ προσεγγισάσης, ζητήσας χάρτην ἔγραψε τὰ περὶ αὐτοῦ πάντα καὶ κατεῖχεν ἐν τῇ χειρὶ μετὰ τελευτήν, ἕως ὁ βασιλεὺς Ὀνώριος θεόθεν ἀποκαλυφθεὶς παρεγένετο, καὶ δεηθεὶς αὐτοῦ καὶ ἱκετεύσας ἤδη τεθνηκότος τὸν χάρτην ἔλαβεν — ἄλλῳ γάρ τινι οὐκ ἐδίδου αὐτόν, — καὶ ἀναγνωσθέντος αὐτοῦ[3], εἰς ἐπήκοον ἐγνώσθη τὰ κατ' αὐτόν. Καὶ πάντων ἐκπλαγέντων, τὸ ἅγιον αὐτοῦ λείψανον ταφῆς ἐντίμου καὶ μεγαλοπρεποῦς ἔτυχεν ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου, μύρα εὐώδη καὶ ἰάματα τοῖς προσιοῦσιν ἀεννάως προχέον.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου. Οὗτος χριστιανὸς ὢν καὶ τοὺς εἰδωλολάτρας ὁρῶν θύοντας οὐ μόνον ἀνθρώποις ἀλλὰ καὶ ἑρπετοῖς καὶ κνωδάλοις, ζήλῳ θείῳ πυρωθείς, ἑορτῆς ἀγομένης τοῖς ἀψύχοις, δραμὼν κατέστρεψε τὸν βωμὸν καὶ τὰ θύματα κατεπάτησε καὶ ἑαυτὸν χριστιανὸν ὡμολόγησε[1]. Παραυτίκα δὲ κρατηθεὶς ὑπὸ τῶν εἰδωλολατρῶν, πρῶτον μὲν παρ' αὐτῶν ῥοπάλοις τύπτεται καὶ λίθοις τὸ στόμα καὶ τοὺς ὀδόντας συντρίβεται καὶ ἐκ τριχῶν σύρεται· ἔπειτα δεθεὶς καὶ παραδοθεὶς τῷ ἄρχοντι καὶ παρ' ἐκείνου πλεῖστα βασανισθεὶς τὴν διὰ ξίφους δέχεται τελευτήν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάστασις τοῦ δικαίου Λαζάρου τοῦ φίλου τοῦ Χριστοῦ.

4. Καὶ μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως, ἧς παρ' ἐλπίδα ὁ φιλάνθρωπος Θεὸς τοὺς τότε ἐρρύσατο[1].

1. — [1] αὐτῷ S. — [2] πλοιόνων S. — [3] αὐτόν S.
2. — [1] (καὶ ἑαυτὸν - ὡμολόγησε) *om.* Mc.
4. — [1] (ἧς - ἐρρύσατο) *om.* Mc.

---

Mart. 16.

ὁ ἀνήμερος βάρβαρος ἡμερωθεὶς μετεμελήθη. Καὶ ἁπλώσας τὴν χεῖρα λαβεῖν ὅπερ ἔφθασε προσπῆξαι ὅπλον τῇ γῇ πρὸ τοῦ τῆς βίας ἀπάρξασθαι, εὗρεν ἐρριζωμένον· καὶ ὑπερθαυμάσας τοῦτο τὸ παράδοξον, ἔδραμε καὶ αὐτὸς πρὸς τὸν ἅγιον. Καὶ κατηχηθεὶς ἐβαπτίσθη, καὶ μονάσας παρὰ τῷ ἁγίῳ γέγονε δοκιμώτατος. Λαβοῦσα δὲ τὴν ἴασιν ἡ γυνὴ χαίρουσα ὑπέστρεψε. Πολλὰ μὲν οὖν καὶ ἄλλα τὰ διὰ τοῦ ἁγίου γενόμενα ὑπερφυῆ καὶ ἐξαίσια· ἀλλ' ἵνα μὴ προσκορεῖς νομισθείημεν, παρεδράμομεν καὶ μὴ βουλόμενοι. Ἔτη δὲ πέντε πρὸς τοῖς ἐννενήκοντα διαβιοὺς ἐν τῷ ἀσκητηρίῳ μηδ' ὁπωσοῦν ἐκεῖθεν μεταβάς, ὡς τὸ πᾶν τῆς ζωῆς εἰς χρόνους δέκα πρὸς τοῖς ἑκατὸν περιΐστασθαι, προοράσεις διαφόρους προαγγείλας εἰς ἔκβασιν προαχθείσας, καὶ ἀδελφότητα ἱκανὴν ἐπισυλλεξάμενος καὶ πάντας προσκαλεσάμενος τοὺς τῆς ἀδελφότητος καὶ ἕνα εἰς ἀρετὴν ἐκλεξάμενος τοῖς λοιποῖς ὑπερέχοντα· « Καὶ τοῦτον » ἀντ' ἐμοῦ ὁ Θεὸς προεσφράγισε ποιμένα ὑμῶν » προσειπών, τῇ χειρὶ ὑποδείξας τὸν ἀδελφόν· καὶ κατασπασάμενος ηὐλόγησεν αὐτούς. Καὶ ἐπιζήσας ἡμέρας ἑπτὰ ἀπῆλθε πρὸς Κύριον κατὰ τὴν ἑξκαιδεκάτην τοῦ μαρτίου μηνός (Mart. 18[2]). — **Mv** : Σαβίνου (Mart. 12[3]). — 1. 2. — Ἰωάννου τοῦ ἐν Ῥουφινιαναῖς. — 3 (Ῥωμανός). — Οἱ ἅγιοι δέκα μάρτυρες οἱ ἐν Φοινίκῃ ξ. τ. — 4. — Ἀνίνα. — **Mr** : Σαβίνου.

Mart. 17.

SYNAXARIA SELECTA. **H** : 2. 1. 4. — **P** : 2. 1. 4. — **D** : 2. 1. 4. 3. — **Da** : 1. 4. — **Db** : 1. — **K** : 1. 4. 3. — **N** : 1. 4. 3. — **Bb** : 1. 2. — **Bc** : 1. 2. — **C** : 1. — **Cd** : deest. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. 4. — **Mc** : 1. — Ἰωάννης ὁ ἐν Ῥουφινιαναῖς ἐν εἰρήνῃ τ. — Ῥωμανὸς ὁ ἐν τῷ Παρίῳ (Mart. 16[3]). — Οἱ ἅγιοι δέκα μάρτυρες οἱ ἐν Φοινίκῃ ξ. τ. — Ἀλέξανδρος πάπας[1] Ῥώμης (Mart. 16[4]). — 4. — Ὁ ὅσιος Παῦλος ὑπὲρ τῶν ἁγίων εἰκόνων π. τ. — Θεοστήρικτος ὁ ὁμολογητὴς ἐν εἰρήνῃ τ. — 3. 2. — **Mv** : 1. 4. — Παῦλος. — Θεοστήρικτος. — 3 : ἡ ἐν τῷ Κυρίῳ πάσχα ἀνάστασις τοῦ δικαίου Λαζάρου. — **Mr** : 1.

[1] Ἀλεξανδρείων πάπας Mc.



## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗʹ.

Mart. 18.

1. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων. Οὗτος γονέων μὲν ἦν εὐσεβῶν, ἐπὶ τῆς βασιλείας Κωνσταντίου. Ἐπεὶ δὲ ὁ τῶν Ἱεροσολύμων ἐπίσκοπος Μάξιμος[1] τέλει βίου ἐχρήσατο, οὗτος ἀντ' ἐκείνου τῆς ἐπισκοπικῆς χάριτος κατηξιώθη, τῶν ἀποστολικῶν

f. 181v.

δογμάτων | προθύμως ὑπερμαχῶν. Ἀκάκιος δὲ ἀρειανὸς ὢν καὶ τὸν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης θρόνον ἐπέχων καὶ ὑπὸ τῆς ἐν Σαρδικῇ συνόδου καθαιρεθείς, ἐπεὶ γνώριμος ἦν[2] τῷ βασιλεῖ, ἐκεῖθεν ἔχων τὴν ἐξουσίαν, τὸν Κύριλλον τοῦ θρόνου καθεῖλεν. Ὁ δὲ εἰς Ταρσὸν ἀπελθὼν τῷ θαυμασίῳ συνῆν Σιλβανῷ. Καὶ εἰς Σελεύκειαν συγκροτηθείσης συνόδου καὶ τοῦ Κυρίλλου μέρους[3] ὄντος τῆς συνόδου, πρὸς τὴν Κωνσταντινούπολιν ἐξέδραμεν ὁ Ἀκάκιος καὶ πείθει τὸν βασιλέα ὑπερορίᾳ καταδικάσαι Κύριλλον. Μετὰ δὲ τὴν τελευτὴν Κωνσταντίου, τῆς βασιλείας κρατήσας Ἰουλιανὸς καὶ θέλων ἐπισπάσασθαι πάντας εἰς εὔνοιαν, ἀνερρύσατο μετὰ πάντων καὶ τὸν Κύριλλον καὶ τῷ ἰδίῳ θρόνῳ ἐγκατέστησε. Καλῶς οὖν τὸ ποίμνιον ἰθύνας καὶ τὰς ἐμφερομένας αὐτοῦ κατηχήσεις μνημόσυνον τῇ ἐκκλησίᾳ καταλελοιπώς, ὀλίγον χρόνον ἐπιβιοὺς μετὰ τὴν ἐπάνοδον ἀνεπαύσατο μακαρίως. Ἦν δὲ κατὰ τὸν τύπον τοῦ σώματος τὴν ἡλικίαν μέτριος, ὠχρός, κομήτης, ὑπόσιμος, τετράγωνος τὸ πρόσωπον, τὰς ὀφρῦς εὐθύτητι φέρων ἀπισουμένας, γενείῳ τὰς σιαγόνας λευκῷ δασυνόμενος, διχῇ κατὰ τὸν πώγωνα διῃρημένῳ, ἀγροίκῳ τὸ πᾶν ἦθος προσεοικώς.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀνίνα τοῦ θαυματουργοῦ.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἑπτὰ γυναικῶν τῶν ἐν Ἀμινσῷ, Ἀλεξανδρίας, Κλαυδίας, Εὐφρασίας, Ματρώνης, Ἰουλιανῆς, Εὐφημίας καὶ Θεοδοσίας. Αὗται ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ τοῦ δυσσεβοῦς. Διωγμοῦ κινηθέντος μεγάλου, πᾶσα ἡλικία τῶν ἀνθρώπων τῶν ὁμολογούντων τὸν Κύριον διὰ βασάνων διαφόρων καὶ ποικίλων θανάτων ἐξεκόπτετο. Ἐπεὶ δὲ καὶ ἐν Ἀμινσῷ τῇ πόλει πᾶς ὁ τὸν Χριστὸν κηρύττων ὑπὸ τοῦ ἄρχοντος τῆς πόλεως, εἰδωλολάτρου ὄντος, ἐφονεύετο, ἑπτὰ γυναῖκες χριστιαναὶ ζηλώσασαι ἔστησαν ἔμπροσθεν αὐτοῦ καὶ χριστιανὰς ἑαυτὰς ὡμολόγησαν, αὐτόν τε ἤλεγξαν παρρησίᾳ, ὠμὸν καὶ ἄδικον ἀποκαλέσασαι καὶ

1. — [1] *bis scriptum in* S. — [2] ὢν S. — [3] μέρος S.

---

Mart. 18.

SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. 2 (Ἀνανία). — **Da** : 1. 2. — **Db** : 1. — **K** : 1. 2. — **N** : 1. — Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ (Mart. 16[2])! — **Bb** : 1. 3. — **Bc** : 1. 3. — **C** : 1. — **Cd** : deest. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. 2 (Ἀνανία). — **Rb** : 1. 2 (Ἀνανίου). — **Rc** : 1. 2 (Ἀνανία). — **Mc** : 1. — Τροφίμου καὶ Εὐκαρπίωνος τῶν ἐν Νικομηδείᾳ ἀθλησάντων. Τοῦ διωγμοῦ τῶν χριστιανῶν ἐν Νικομηδείᾳ παφλάζοντος, πάντας τοὺς χριστιανοὺς οἱ συλλαμβάνοντες ἐν ταῖς φυλακαῖς κατεῖχον. Εἶθ' οὕτως ἐπανακρίναντες μετὰ πολλῶν ἐξετάσεων καὶ ποικίλων τιμωριῶν τοὺς ἐμμένοντας τῇ ὁμολογίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τοῦ ζῆν ἀπήλλασσον. Οἱ μάρτυρες οὖν Τρόφιμος καὶ Εὐκαρπίων, δυνατοί τε ὄντες καὶ τολμηροὶ καὶ στρατευόμενοι, διῶκται καὶ τέλειοι ἐχθροὶ ἐτύγχανον συλλέγοντες τοὺς χριστιανοὺς καὶ ταῖς φυλακαῖς ἐμβάλλοντες, ὡς πᾶσαν ἐξουσίαν λαβόντες κατ' αὐτῶν. Οὓς γὰρ ἤθελον ἐτιμώρουν, τινὰς δὲ καὶ περιεποιοῦντό. Ποτε δὲ αὐτῶν ἀπερχομένων πρὸς τὸ κατασχεῖν τινάς, εἶδον πυρκαϊὰν μεγάλην ῥοιζηδὸν κατερχομένην ἐκ τοῦ οὐρανοῦ πρὸς αὐτοὺς καὶ φωνῆς ἐκεῖθεν ἤκουσαν λεγούσης· « Ἵνα τί σπεύδετε τοῖς ἐμοῖς ἐπαπειλούμενοι δούλοις; μὴ πλανᾶσθε, οὐδὲ γὰρ » δυνήσεταί τις κατακυριεῦσαι τῶν εἰς ἐμὲ πεπιστευκότων, μᾶλλον δὲ προσκολλήθητε τούτοις καὶ » κερδανεῖτε τὴν τῶν οὐρανῶν βασιλείαν. » Αὐτῆς τε τῆς φωνῆς ὡς ἤκουσαν οἱ ὠμοὶ καὶ θρασεῖς καὶ κατὰ τῶν τοῦ Χριστοῦ δούλων ἀλαζονευόμενοι, ἔπεσον χαμαί, μήτε τὴν θέαν ὑποφέροντες, μήτε τὴν βροντῶσαν ἐκείνην φωνὴν ὑπενεγκόντες. Τοῦτο δὲ μόνον κείμενοι ἔλεγον· « Ἀληθῶς μέγας ἐστὶν ὁ » Θεός, ὁ φανεὶς ἡμῖν σήμερον· καὶ μακάριοί ἐσμεν καὶ ἡμεῖς, ἐὰν αὐτοῦ γενώμεθα δοῦλοι. » Καὶ ὡς ταῦτα μετὰ φόβου ἔλεγον, σχισθεῖσα ἡ πυρίνη ἐκείνη νεφέλη ἔστη ἔνθεν καὶ ἔνθεν· καὶ αὖθις ἑτέρα φωνὴ ἐξ αὐτῆς ἦλθε λέγουσα· « Ἀνάστητε, καὶ μεταμεληθεῖσιν ἀφέονται ὑμῖν αἱ ἁμαρτίαι. » Καὶ ἀναστάντες εἶδον μέσον τῆς νεφέλης καθήμενόν τινα λευχείμονα καὶ πάνυ εὐειδῆ καὶ πλῆθος παρεστώτων αὐτῷ πολύ· καὶ ἐπὶ τῇ θέᾳ καταπλαγέντες· « Δέξαι καὶ ἡμᾶς » ὡς ἐξ ἑνὸς ἀνεβόησαν στόματος, « ὅτι » πολλὰ ἡμῖν τὰ ἐσφαλμένα καὶ ἄμετρα ἐκτὸς ὧν εἰς σὲ τὸν μόνον ἀληθινὸν Θεὸν καὶ τοὺς σοὺς δούλους » πεπαρῳνήκαμεν. » Ταῦτα τούτων εἰπόντων, εὐθέως ἡ νεφέλη εἰς ἓν γενομένη ἀνῆλθεν εἰς τὸν οὐρανόν. Οὗτοι δὲ πολλὰ κλαύσαντες ὑπέστρεψαν καὶ ὅσους εἶχον ἐγκεκλεισμένους, πάντα φόβον καὶ δειλίαν ἀποθέμενοι ὡς ἀδελφοὺς ἠσπάζοντο καταπροσκυνοῦντες καὶ τὰ δεσμὰ αὐτῶν λύοντες παρεκελεύοντο οἴκαδε πορεύεσθαι. Ταῦτα μεμαθηκὼς ὁ ἄρχων, οὐ μικρῶς ἐχαλέπαινε κατ' αὐτῶν καὶ παραστὰς ἐπυνθάνετο τὴν αἰτίαν μαθεῖν βουλόμενος. Ὡς δὲ πᾶσαν τὴν ὀπτασίαν οὗτοι λεπτομερῶς ἐξηγήσαντο, προσέταξεν ἀναρτηθῆναι αὐτοὺς ἐν τῷ ξύλῳ. Καὶ τούτου γενομένου τὰς πλευρὰς αὐτῶν χειράγραις κατέξαινον. Εἶθ' οὕτως τριχῶν ὑφάσμασι κελεύει κατατρίβεσθαι τὰς πληγάς. Οἱ δὲ ἅγιοι γενναίως ταῖς βασάνοις ἐγκαρτεροῦντες προσηύχοντο εὐφραινόμενοι καὶ τῷ Θεῷ εὐχαριστοῦντες· ὅθεν καὶ τὸν ἄρχοντα εἰς μεγάλην ὀργὴν ἐκ τούτου κινήσαντες, κάμινον ἐκκαῆναι μέσον τῆς πόλεως προστάττει καὶ ἐν αὐτῇ τοὺς ἁγίους ἀπορριφῆναι. Καὶ τούτου γενομένου, οἱ ἅγιοι τῆς καμίνου ἐπιβεβηκότες τὸν

Mart. 18. ἐχθρὸν τῆς ἀληθείας. Ταῦτα εἰποῦσαι εἰς ὀργὴν ἐκίνησαν τὸν τύραννον. Καὶ πρῶτον μὲν ἐκδυθεῖσαι ἐτύφθησαν μετὰ ῥάβδων· ἔπειτα τοὺς μαστοὺς ξίφει ἐτμήθησαν, καὶ τρίτον κρεμασθεῖσαι ἐξέσθησαν τοσοῦτον, ἕως οὗ ἐφάνησαν τὰ ἔγκατα αὐτῶν. Καὶ τελευταῖον εἰς κάμινον πυρὸς μεγάλην | f. 182. ἐμβληθεῖσαι παρέδωκαν τὰς ἑαυτῶν ψυχὰς τῷ Κυρίῳ.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

Mart. 19. **1.** Μνήμη τοῦ ἐν ἁγίοις[1] Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως. Οὗτος[2] διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ[3] ἀρετὴν καὶ τὴν ἄκραν σύνεσιν καὶ εὐλάβειαν, διάκονος προχειρίζεται τῆς μεγάλης ἐκκλησίας καὶ σακελλάριος ὑπὸ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἐν θαύμασι μεγίστου Ἰωάννου, τοῦ ἐπικαλουμένου[4] νηστευτοῦ, ἐπὶ τῆς βασιλείας τοῦ ἀοιδίμου καὶ μακαρίου Μαυρικίου. Καὶ μετὰ τελευτὴν αὐτοῦ τε Ἰωάννου καὶ τοῦ μετ' αὐτὸν ἀρχιερατεύσαντος Κυριακοῦ προχειρίζεται πατριάρχης Κωνσταντινουπόλεως[5]. Ἔτη δὲ τρία καὶ μῆνας δύο τὸν θρόνον ταύτης διϊθύνας καὶ πολλὰ κατὰ τῶν αἱρέσεων ἀγωνισάμενος καὶ τὰ ὀρθόδοξα κρατύνας καὶ τὸ ποίμνιον καλῶς καὶ θεαρέστως ποιμάνας[6] ἐν εἰρήνῃ ἐκοιμήθη.

**2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Δαρείας. Οὗτοι ὑπῆρχον ἐπὶ Νουμεριανοῦ τοῦ[1] βασιλέως[2]· ὁ μὲν Χρύσανθος πατρὸς συγκλητικοῦ ὀνόματι Πολέμωνος Ἀλεξανδρέως, ἡ δὲ Δαρεία ἐξ Ἀθηνῶν. Ἐπεὶ δὲ ὁ Χρύσανθος παρά τινος χριστιανοῦ ἐμυήθη τὰ θεῖα[3] καὶ βαπτισθεὶς τὸν Χριστὸν ἐκήρυττε παρρησίᾳ[4], παρὰ τοῦ πατρὸς καθείργνυται. Ὡς δὲ οὐκ ἐνεδίδου, ἀλλ' ἄτρεπτος ἦν καὶ ἀσάλευτος, ἁρμόζει[5] αὐτῷ <ὁ πατὴρ[6]> κόρην εὐπρόσωπον καὶ ὡραίαν ἐξ Ἀθηνῶν μεταπεμψάμενος, Δαρείαν ὀνόματι, ὥστε τῷ ἔρωτι ταύτης[7] μεταστῆναι αὐτὸν τῆς τῶν χριστιανῶν πίστεως. Ἡ δὲ ἀντὶ τοῦ πεῖσαι μᾶλλον[8] ἐπείσθη· καὶ τὴν πατρῴαν δυσσέβειαν ἐξομοσαμένη, τὸ ἅγιον δέχεται βάπτισμα, καὶ διεφυλάχθη ἀμφοτέρων ἡ παρθενία ἄφθορος[9]. Ὅθεν διαβληθέντες πρὸς Κελερῖνον τὸν ὕπαρχον[10] εἰς ἐξέτασιν ἐκδίδονται Κλαυδίῳ τῷ τριβούνῳ. Ὁ δὲ πολλαῖς βασάνων ἰδέαις τούτους τιμωρησάμενος, ἐπεὶ περιγενομένους αὐτοὺς καὶ τῶν αἰκισμῶν ἀνωτέρους ἑώρα, μεταβαλόμενος ἐπίστευσε τῷ Χριστῷ[11] ἅμα τῇ γυναικὶ αὐτοῦ Ἱλαρίᾳ καὶ τοῖς δυσὶν υἱοῖς[12] Ἰάσωνι καὶ Μαύρῳ καὶ τοῖς ὑπ' αὐτὸν στρατιώταις, οἳ καὶ ὕστερον τὸν τῆς μαρτυρίας ἐκομίσαντο στέφανον κατὰ τὴν ἐννεακαιδεκάτην τοῦ μαρτίου μηνός· ὁ μὲν Κλαύδιος λίθῳ προσδεθεὶς[13] καὶ ῥιφεὶς ἐν τῷ[14] βυθῷ, οἱ δ' αὐτοῦ υἱοὶ[15] σὺν τοῖς στρατιώταις τὰς κεφαλὰς ἀπετμήθησαν. Ὁ δὲ ἅγιος Χρύσανθος καὶ[16] Δαρεία ἐν βόθρῳ ἐβλήθησαν· καὶ ἄνωθεν γῆς ἐπιχεθείσης[17] αὐτοῖς[14] κατεχώσθησαν, ἔνθα καὶ τὸ μακάριον τέλος ἐδέξαντο.

**3.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἀναιρεθέντων ὑπὸ τῶν | f. 182v. βαρβάρων Αἰθιόπων[1] ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα. Οὗτοι οἱ ἅγιοι πατέρες ἐκ διαφόρων τόπων συναθροισθέντες καὶ τῇ μονῇ τοῦ ὁσίου πατρὸς ἡμῶν προσκαθεζόμενοι Σάβα[2], ἐν ἀσκήσει πολλῇ καὶ καλῇ πολιτείᾳ τὸν Θεὸν ἐθεράπευον. Ἀλλ' ὁ βασκαίνων καὶ φθονῶν διάβολος καὶ μάλιστα τοῖς ἐναρέτοις, ἐξήγειρεν ἐπ' αὐτοὺς τοὺς ἀθέους Αἰθίοπας ἐλπίζοντας πλούτου περιουσίαν εὑρεῖν[3]. Ὡς δὲ ἀπελθόντες οὐδὲν εὗρον, τὸν θυμὸν αὐτῶν ἐξέχεον ἐπ'[4] αὐτούς, τοὺς μὲν ἀποκεφαλίσαντες, τοὺς δὲ διχοτομήσαντες, τοὺς[5] δὲ κατακεντήσαντες καὶ τὰ ἔγκατα[6] αὐτῶν ἐκχέαντες καὶ διαφόρως ἀνελόντες. Οἱ δὲ ὅσιοι εὐχαριστοῦντες παρέδωκαν τὰς ἁγίας αὐτῶν ψυχὰς τῷ Κυρίῳ, ἀπολαύοντες τὴν αἰώνιον καὶ μακαρίαν ζωὴν τῆς βασιλείας τῶν οὐρανῶν, δι' ἣν τούς τε ἀγῶνας τῆς ἀσκήσεως καὶ τὸ μαρτύριον τῆς ἀθλήσεως προθύμως ὑπέμειναν.

**4.** Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου διακόνου τῆς Ῥωμαίων ἐκκλησίας.

1. — [1] πατρὸς ἡμῶν *add.* Mc *ad d. 21 Martii.* — [2] ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Θ. *add.* Mc. — [3] αὐτῷ Mc. — [4] *om.* Mc. — [5] πατρ. Κπ. δείκνυται Mc. — [6] *corr., prius* ποιμένας S.

2. — [1] *om.* Mc. — [2] ἦν δὲ *add.* Mc. — [3] τ. θ. ἐμ. Mc. — [4] π. τ. Χ. ἐκ. Mc. — [5] ἁρμόζεται S, Mc. — [6] *om.* S, Mc. — [7] πρὸς αὐτὴν ἔρωτι Mc. — [8] μ. ἀ. τ. π. Mc. — [9] ἄτρωτος Mc. — [10] ἔπαρχον Mc. — [11] εἰς Χριστὸν Mc. — [12] αὐτῶν *add.* Mc. — [13] δεθεὶς Mc. — [14] *om.* Mc. — [15] δὲ υἱοὶ αὐτοῦ Mc. — [16] ἡ *add.* Mc. — [17] ἐπιτεθείσης Mc.

3. — [1] *om.* Mc, *ad d. 20 Martii.* — [2] Σ. προσκ. Mc, προκ. Σ. S. — [3] λαβεῖν Mc. — [4] παρ' Mc. — [5] ἄλλους Mc. — [6] αἵματα Mc.

---

Mart. 18. στέφανον τοῦ μαρτυρίου ἐν αὐτῇ ἀνεδήσαντο. — Τῆς ἀδελφῆς τοῦ Λαζάρου Μαρίας, ἥτις τοὺς πόδας τοῦ Χριστοῦ νάρδου ἀλείψασα ταῖς θριξὶν ἐξέμασσε. — Καὶ τῶν ἁγίων μυρίων. — **Mv** : 1. — Οἱ ἅγιοι μύριοι τὰς αὐχένας τμηθέντες τ. — Τροφίμου καὶ Εὐκαρπίωνος. — Μαρίας. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῆς βαιοφόρου. — **Mr** : 1.

Mart. 19. SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2. — **D** : 2. 1 : Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἐν ἁγίοις Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως. — **Da** : 2. 1. — **Db** : Ἀνίνα (Mart. 18[2]). — 2. 1. — **K** : 2. — **N** : 2. — Μαρίνου (Mart. 17[2]). — **Bb** : 3. 2. — **Bc** : 3. — **C** : 2. 3. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν (Mart. 18[3]). — Θερφούθης καὶ τῆς ἀδελφῆς αὐτῆς (April. 5[3]). — **Cd** : deest. — **Ce** : 2. 3. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — Δερφούθης. — **Cg** : 2. 3. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — Θερφούθης. — **R** : 2. — **Ra** : 2. 1 (ἀνακομιδή). — **Rb** : deest. — **Rc** : 2. 1 (ἀνακομιδή). — **Mc** : 2. — Κλαύδιος ὁ τριβοῦνος ἐν τῇ θαλάσσῃ βληθεὶς τ. — Ἱλαρία ἡ τούτου σύζυγος ξ. τ. — Ἰάσων καὶ Μαῦρος οἱ τούτων υἱοὶ ξ. τ. — Παγχαρίου (Mai 25[2]). — **Mv** : 2. — Κλαύδιος. — Ἱλαρία. — Ἰάσων καὶ Μαῦρος οἱ υἱοὶ αὐτῶν ξ. τ. — Παγχαρίου. — Διόδωρος πρεσβύτερος καὶ Μαριανὸς διάκονος σπηλαίῳ ἐγκλεισθέντες τ. — **Mr** : 2.



## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Mart. 20. **1.** Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Νικήτα ἐπισκόπου Ἀπολλωνιάδος. Οὗτος[1] ὑπῆρχεν ἐν τῷ καιρῷ τῶν εἰκονομάχων[2] οὐ μόνον πιστὸς καὶ εὐλαβὴς καὶ ὀρθοδοξότατος, ἀλλὰ καὶ ἐλεήμων καὶ συμπαθής[3], πολὺς τὴν γνῶσιν, πλείων τὸν λόγον. Ὅθεν ἀναγκασθεὶς ἀρνήσασθαι τὴν προσκύνησιν τῆς πανσέπτου εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς παναχράντου αὐτοῦ μητρὸς καὶ τῶν ἱερῶν καὶ θείων ἀγγέλων καὶ πάντων τῶν ἁγίων, καὶ μὴ πεισθείς, ἐξορίαις καταδικάζεται καὶ πειρασμοῖς ἀνεικάστοις καθυποβάλλεται· ἐφ' οἷς δεινῶς νοσήσας παρέθετο τὴν ἁγίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ[4].

**2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Φωτεινῆς τῆς Σαμαρείτιδος, ἥτινι προσωμίλησεν ὁ Κύριος ἐν τῷ φρέατι, καὶ τῶν σὺν αὐτῇ Ἰωσῆ καὶ Βίκτωρος τῶν υἱῶν αὐτῆς καὶ Σεβαστιανοῦ δουκὸς καὶ Ἀνατολίου καὶ τῶν γνησίων αὐτῆς αὐταδέλφων Φωτοῦς, Φωτίδος[1], Παρασκευῆς καὶ Κυριακῆς. Αὕτη ἦν ἐν τοῖς χρόνοις Νέρωνος. Μετὰ δὲ τὸ τέλος τῶν ἁγίων Πέτρου καὶ Παύλου ὑπῆρχε σὺν τῷ υἱῷ αὐτῆς Ἰωσῆ ἐν Καρθαγένῃ τῇ πόλει τῆς Ἀφρικῆς, κηρύττουσα τὸν Χριστόν. Ὁ δὲ υἱὸς αὐτῆς Βίκτωρ κατὰ τῶν Ἀβάρων ἀνδραγαθήσας, γέγονε στρατηλάτης καὶ προσετάγη τοὺς ἐν τῇ Γαλλίᾳ[2] χριστιανοὺς φονεύειν. Ἐπεὶ δὲ οὐκ ἐφόνευε, ἀλλ' ἐδίδασκεν μᾶλλον τῷ Χριστῷ προσέρχεσθαι καὶ πολλοὺς πρὸς τὴν πίστιν ἐχειραγώγει, ὡς καὶ αὐτὸν τὸν δοῦκα Σεβαστιανὸν ποιῆσαι πιστεῦσαι Χριστῷ, παρασταλεὶς ἤχθη δέσμιος μετὰ τῶν λοιπῶν καὶ πα|ρέστη[3] f. 183. τῷ βασιλεῖ. Ὁ δὲ διαφόρως ἐτιμωρήσατο αὐτούς, τῶν μὲν ὀφθαλμοὺς ἐξορύξας, τοὺς δὲ εἰς φυλακὴν ἐμβαλὼν ἑρπετῶν ἰοβόλων γέμουσαν· ἐν ᾗ ὤφθη ὁ Κύριος

1. — [1] ὁ ἐν ἁγίοις καὶ θεοφόρος πατὴρ ἡμῶν καὶ ὁμολογητὴς *add.* Mc. — [2] ἐν τῷ κ. τ. εἰκ. ὑπῆρχεν ἐπίσκοπος Ἀπολλωνιάδος Mc. — [3] καὶ *add.* Mc. — [4] εἰς χεῖρας Θεοῦ Mc.

2. — [1] Φώτιδος S. — [2] S, D, Γαλιλαίᾳ *al. v. c.* Bc. — [3] πα|παρέστη S.

---

Mart. 20. SYNAXARIA SELECTA. **H** : Ἄθλησις τῶν ἁγίων ἑπτὰ γυναικῶν ἐν Ἀμισῷ (Mart. 18[3]). — **P** : Τῶν ἁγίων ἑπτὰ μαρτύρων γυναικῶν. — **D** : 2 : Φωτεινῆς τῆς Σαμαρείτιδος, ἥτινι προσωμίλησεν ὁ Κύριος ἐν τῷ φρέατι, καὶ τῶν σὺν αὐτῇ Ἰωσῆ καὶ Βίκτωρος τῶν υἱῶν αὐτῆς καὶ Σεβαστιανοῦ δουκός, Ἀνατολίου, Φωτοῦς, Φωτίδος, Παρασκευῆς καὶ Κυριακῆς τῶν γνησίων αὐτῆς αὐταδέλφων. Αὕτη ἡ Σαμαρεῖτις περιῆν καὶ ἐν τοῖς χρόνοις Νέρωνος. Μετὰ δὲ τὴν τελείωσιν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου ἦν ἡ μακαρία αὕτη σὺν τῷ υἱῷ αὐτῆς Ἰωσῆ ἐν Καρθαγένῃ πόλει τῆς Ἀφρικῆς, κηρύττουσα τὸν Χριστόν. Ὁ δὲ υἱὸς αὐτῆς Βίκτωρ ὁ πρῶτος εὐδοκιμήσας ἐν τῷ πολέμῳ τῶν Ἀβάρων, ζώννυται στρατηλάτης, καὶ ἐν τῇ Γαλλίᾳ ἐκπέμπεται, κελευσθεὶς ἅπαντας τοὺς ἐν ταῖς πόλεσιν ἐκείναις εὑρισκομένους χριστιανοὺς τιμωρεῖσθαι. Ὁ δὲ οὐ μόνον οὐκ ἐκόλαζε τοὺς εἰς Χριστὸν πιστεύοντας, ἀλλὰ καὶ παντοίως ἐτίμα καὶ ἐδίδασκεν· ὅθεν καὶ τὸν δοῦκα Σεβαστιανὸν μεθ' ἑτέρων πολλῶν πρὸς τὴν εἰς Χριστὸν μετάγει πίστιν. Ταῦτα μαθὼν ὁ βασιλεὺς ἀμφοτέρους τῷ αὐτοῦ βήματι παρεστήσατο. Καὶ ἐρωτηθέντες τὰς χεῖρας συντρίβονται μὴ εἴξαντες, καὶ πέλυκι τῶν ὤμων ἐκκόπτονται. Θεοῦ δὲ προνοίᾳ ἀβλαβεῖς διαμείναντες, τῇ φρουρᾷ ἀπορρίπτονται σὺν Ἰωσῆ τῷ ἀδελφῷ Βίκτωρος. Τὴν δὲ μακαρίαν Φωτεινήν, ἐπεὶ παρεγένετο ἐν τῷ παλατίῳ, ἔλαβεν· ἥτις Δομνίναν τὴν παῖδα τοῦ βασιλέως καὶ τὰς θεραπαίνας αὐτῆς κατηχήσασα τῷ ἁγίῳ βαπτίσματι ἐτελείωσεν· ὅπερ ὁ βασιλεὺς γνοὺς καμίνῳ τοὺς ἁγίους ἀπορριφῆναι προσέταξεν. Οἳ ἀβλαβεῖς ἐκεῖθεν ἐξελθόντες ἀναιρετικὰ φάρμακα ποτίζονται καὶ ἀσινεῖς ἐκ τῆς τούτων βλάβης δειχθέντες πολλοὺς ἐπισπῶνται πρὸς τὴν εἰς Χριστὸν πίστιν, καὶ αὐτὸν τὸν τὰ φάρμακα κερασάμενον· ὃς βαπτισθεὶς διὰ ξίφους τελειοῦται. Τότε θυμωθεὶς ὁ βασιλεὺς κελεύει μόλιβδον λυθέντα τῇ ἁγίᾳ Φωτεινῇ ἐκχέαι διὰ τοῦ στόματος, τοῖς δὲ λοιποῖς διὰ τῶν ἀκοῶν. Εἶτα ξέονται σιδηροῖς ὄνυξιν καὶ τέφραν μετ' ὄξους κατὰ τῶν μυκτήρων δέχονται· καὶ σιδήρῳ τοὺς ὀφθαλμοὺς ἐξορύττονται καὶ φρουρᾷ ζοφώδει ἐγκλείονται, ἐν ᾗ ὑπῆρχε πᾶν ἑρπετὸν ἰοβόλον. Τούτων ἐκεῖσε βληθέντων, ἀπονεκροῦνται μὲν τὰ ἑρπετά, εὐωδία δὲ ἀναδίδοται, φῶς δὲ μέγα περιλάμπει. Καὶ Χριστὸς ὁ τούτων χορηγὸς παραγίνεται <ἅμα[1]> Πέτρῳ καὶ Παύλῳ τοῖς ἀποστόλοις, ἐφεπομένους ἔχων καὶ ἁγίων ἀγγέλων πληθύν· καὶ ἐνισχύσας αὐτοὺς καὶ τό· « Εἰρήνη ὑμῖν » καὶ τό· « Μακάριοι οἱ εἰς ἐμὲ » πιστεύσαντες » ἐπειπὼν ἀπῆλθεν ἀπ' αὐτῶν. Οἱ δέ· « Δόξα σοι, Κύριε, δόξα σοι ὁ Θεὸς ἡμῶν » εἶπον. Τριῶν δὲ παρῳχηκότων ἐνιαυτῶν καὶ τοῦ βασιλέως πυθομένου ἔτι ζῆν αὐτούς, ἐξαγαγὼν τῆς φυλακῆς σταυροῖ αὐτοὺς κατὰ κεφαλῆς καὶ βουνεύροις αἰκίζει τὰ σώματα αὐτῶν ἐπὶ τρισὶν ἡμέραις. Ἄγγελος δὲ θεῖος τοὺς τούτων ἰάσατο μώλωπας· καὶ τῶν δεσμῶν ἀπέλυσεν. Καὶ αὐτίκα ἡ ἁγία Φωτεινὴ τὴν τῆς σαρκὸς δορὰν ἀποσύρεται καὶ ἐν ξηρῷ φρέατι ῥίπτεται. Φωτεινὸς δὲ καὶ Χριστόδουλος καὶ Σεβαστιανὸς ὁμοίως ἐκδαρέντες καὶ τὰ μόρια τμηθέντες ἐν παλαιῷ βαλανείῳ ἐγκλείονται· ὡσαύτως καὶ αἱ ἅγιαι γυναῖκες πρότερον ἐκδαρεῖσαι τοὺς μαστοὺς τέμνονται. Ἡ δὲ ἁγία Φωτὶς μετὰ τὸ ἐκδαρῆναι δυσὶ δένδροις, βίᾳ κλιθεῖσι καὶ ὑφ' ἓν ἐλθοῦσι, χερσὶ καὶ ποσὶ προσδεθεῖσα ἀφίεται· ὧν[2] πρὸς τὴν ἰδίαν ἀποκλινάντων στάσιν ἑκατέροις μερίζεται. Οἱ δὲ λοιποὶ τῇ τοῦ ξίφους ὑπάγονται τιμωρίᾳ. Ἡ δὲ ἁγία Φωτεινὴ ἡμέρας πλείστας διαρκέσασα ἐν τῷ ξηρῷ φρέατι ἀνεπαύσατο ἐν Κυρίῳ. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — **Da** : Τῶν ἁγίων μαρτύρων καὶ πατέρων τῶν ἀναιρεθέντων ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα ὑπὸ τῶν Μαύρων (Mart. 19[3]). — 1. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — 2. — **Db** : 2. — **K** : 2. — Τῶν ὁσίων πατέρων. — Τοῦ ὁσίου Γερασίμου (Mart. 4[5]). — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — **N** : Τῶν ὁσίων

[1] *om.* D. — [2] ἃ D.

Mart. 20. μετὰ Πέτρου καὶ Παύλου ἐνισχύων αὐτούς. Καὶ μετὰ τριετίαν ἐξαγαγὼν κρεμᾷ ἐπὶ ξύλου κατὰ κεφαλῆς καὶ ξέει· εἶτα ἐξέδειραν οἱ δήμιοι πάντων τὰ δέρματα, καὶ τῶν ἀνδρῶν τὰ αἰδοῖα κόψαντες δέδωκαν τοῖς κυσί. Τὴν δὲ ἁγίαν Φωτίδα[4], μετὰ τὸ ἐκδεῖραι, δύο δένδρα κλίναντες προσέδησαν, εἶτα ἀπέλυσαν καὶ διέσχισαν αὐτὴν εἰς δύο· οἱ δὲ λοιποὶ πάντες ξίφει ἐτελειώθησαν. Ἡ δὲ ἁγία Φωτεινὴ διαρκέσασα ἐν τῇ φυλακῇ ἡμέρας πλείστας καὶ τῷ Θεῷ εὐχαριστήσασα ἐν εἰρήνῃ ἀνεπαύσατο.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Mart. 21. **1.** Τοῦ ὁσίου πατρὸς ἡμῶν Βηρύλλου[1] ἐπισκόπου Κατάνης, μαθητοῦ γενομένου τοῦ ἁγίου ἀποστόλου Πέτρου[2]. Οὗτος ἐξ Ἀντιοχείας ἕλκων τὸ γένος, τῷ ἀποστόλῳ[3] μαθητευθεὶς καὶ ἐν τῇ δύσει γενόμενος, ἐπίσκοπος Κατάνης ὑπ' αὐτοῦ προχειρίζεται. Καλῶς δὲ καὶ θεοφιλῶς ποιμάνας τὸ ἑαυτοῦ ποίμνιον, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐχειραγώγησε πίστιν[4]· καὶ θαύματα παντοῖα κατειργάσατο, ἐξ ὧν ἑνὸς ἀναγκαῖον ἐπιμνησθῆναι[5]. Πηγὴ ἦν κατὰ τὸν τόπον ἐκεῖνον, πικρότατον ἔχουσα ὕδωρ[6], οὗ τὴν πικρίαν προσευξάμενος τῷ Θεῷ μετέβαλεν εἰς γλυκύτητα. Ὅπερ ἰδών τις ἕλλην ἄκρος εἰδωλολάτρης[7] ἐπίστευσε τῷ Χριστῷ, καὶ σὺν ἐκείνῳ ἕτεροι πολλοί. Ἐν τούτοις εἰς βαθὺ γῆρας ἐλάσας καὶ τὸν ἁγίοις πρέποντα ὕπνον ἀναπαυσάμενος κατατίθεται[8] ἐν τῇ αὐτῇ νήσῳ ἐντίμως, ἰάματα παρέχων τοῖς αὐτῷ μετὰ πίστεως προσιοῦσι μέχρι τῆς σήμερον.

**2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φιλήμονος καὶ Δομνίνου[1]. Οὗτοι ὑπῆρχον ἐκ τῆς μεγαλοδόξου πόλεως Ῥώμης· ἐπὶ δὲ τῶν καιρῶν τοῦ διωγμοῦ ἀπιόντες ἐν Ἰταλίᾳ[2], κἀκεῖ κηρύττοντες τὸν Χριστὸν καὶ πολλοὺς τῶν ἀπίστων[3] ἐπιστρέφοντες[4] ἐπὶ τὴν τοῦ Χριστοῦ πίστιν ἐβάπτιζον. Διὰ τοῦτο ὑπὸ τῶν εἰδωλολατρῶν κρατηθέντες καὶ παραδοθέντες[5] τῷ τῆς χώρας[6] ἄρχοντι[7], μήτε κολακείαις μαλακισθέντες μήτε δώρων[8] ὑποσχέσεσι, μόνον δὲ τὸν Χριστὸν ἐπικαλούμενοι καὶ Θεὸν ἀνακηρύττοντες, γυμνοὶ ταθέντες ἐπὶ γῆς ἐκ τεσσάρων, ἀφειδῶς τύπτονται καὶ εἰς φυλακὴν ἀπορρίπτονται· ἔπειτα[9] ἐκβληθέντες τὴν διὰ ξίφους δέχονται τελευτήν[10].

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Mart. 22. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Βασιλείου πρεσβυτέρου τῆς Ἀγκυρανῶν ἐκκλησίας. Οὗτος ὑπῆρχεν ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου καὶ Σατορνίνου ἡγεμόνος Ἀγκύρας[1]. Διαβληθεὶς δὲ παρέστη τῷ ἡ|γεμόνι, καὶ ἐρωτηθεὶς ἐπὶ ξύλου ἀναρτᾶται καὶ τὰς πλευρὰς ξέεται καὶ τῇ εἱρκτῇ f. 183v.

— [4] Φωτεῖδα S.

**1.** — [1] Βυρίλλου S, Κυρίλλου Mc, *cf.* Synaxaria selecta. — [2] (μαθητοῦ - Πέτρου) *om.* Mc. — [3] Παύλῳ *add.* Mc. — [4] π. ἐχ. Mc. — [5] ἐπιμν. δέον Mc. — [6] ὕδωρ ἔχουσα Mc. — [7] τὴν εἰδωλολατρίαν μετέχων Mc. — [8] κατετέθη Mc.

**2.** — [1] *al.* Δόμνου, *cf. Mart.* 20[1]. — [2] Ἰτταλία S. — [3] τῶν ἀπίστων *om.* Mc. — [4] ἐπιστρέφων S. — [5] *om.* Mc. — [6] προσαχθέντες *add.* Mc. — [7] καὶ *add.* Mc. — [8] δωρεῶν Mc. — [9] καὶ τῆς φυλακῆς Mc. — [10] ξίφει τελειοῦνται Mc.

**1.** — [1] πρεσβύτερος ὢν τῆς ἐν Ἀγκύρᾳ ἁγίας ἐκκλησίας *add.* Mc.

---

Mart. 20. πατέρων. — Τῶν ἁγίων γυναικῶν. — 2. — **Bb** : 1. — Θωμᾶ (Mart. 19[1]). — 2. — **Bc** : 2. — Θωμᾶ. — **C** : 1. — Θωμᾶ. — 2. — **Cd** : deest. — **Ce** : 1. — Θωμᾶ. — 2. — **Cg** : 1. — Θωμᾶ. — 2. — **R** : Τῶν ἁγίων πατέρων. — 1. 2. — Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἐν ἁγίοις Θωμᾶ... Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ. — **Ra** : Γερασίμου. — Ἀρχελάου, Κυρίλλου καὶ Φωτίου (Mart. 4[1]). — Πιονίου (Mart. 11[3]). — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — **Rb** : deest. — **Rc** : Γερασίμου. — 2. — **Mc** : Τῶν ὁσίων πατέρων (Mart. 19[1]). — Γερασίμου. — Τῶν ἁγίων μαρτύρων γυναικῶν. — 1. — Ῥοδιανὸς ξ. τ. — Ἀκύλας ὁ ἔπαρχος ξ. τ. — Λολλίων πυγμαῖς βαλλόμενος τ. — Μανουὴλ ξ. τ. — **Mv** : Τῶν ἁγίων ἀββάδων. — Γερασίμου. — 1. — Τῶν ἁγίων ἑπτὰ γυναικῶν. — Ῥοδιανός. — Ἀκύλας. — Λωλίων. — Ἐμμανουήλ. — **Mr** : Τῶν ἁγίων ἀββάδων.

Mart. 21. SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2 : Φιλήμονος καὶ Δομνίνου Σαλονικέου. — **D** : Ἰακώβου (Mart. 24[2]). — 2. — **Da** : Ἰακώβου. — 1 (Βηρύλλου). — **Db** : Ἰακώβου. — 1 (Βιρύλλου). — **K** : Ἰακώβου. — 1 (Βηρίλλου). — **N** : Ἰακώβου. — 1 (Βηρύλλου). — Νικήτα (Mart. 20[1]). — **Bb** : Ἰακώβου. — 1. — **Bc** : Βενεδίκτου ἀρχιμανδρίτου Ῥώμης (Mart. 14[1]). — Ἰακώβου τοῦ νέου. — 1. — **C** : 2. — Ἰακώβου. — Καλλινίκης καὶ Βασιλίσσης (Mart. 22[2]). — 1 (Βηρύλλου). — **Cd** : deest. — **Ce** : 2. — Ἰακώβου. — Καλλινίκης καὶ Βασιλίσσης. — 1 (Βυρίλλου). — **Cg** : 2. — Ἰακώβου. — Καλλινίκης καὶ Βασιλίσσης. — 1 (Βηρύλλου). — **R** : Ἰακώβου. — 1. — **Ra** : 1. — Ἀρτέμωνος (Mart. 24[1]). — Καλλινίκου καὶ Βασιλίσσης. — **Rb** : deest. — **Rc** : 1. — Ἰακώβου. — 2 : Φιλήμονος καὶ Δομνίνου. Οὗτοι ὑπῆρχον ἐκ πόλεως Θεσσαλονίκης. — Καλλινίκου καὶ Βασιλίσσης. — **Mc** : Ἰακώβου. — 1 (Κυρίλλου). — 2. — Θωμᾶ (Mart. 19[1]). — Σεραπίων ὁ ἐλεήμων ὁ ὑπάρχων ἀπὸ Σιδῶνος ἐν εἰρήνῃ τ. — Μνήμη τῆς καταχεάσης γυναικὸς τὸ μύρον εἰς τὴν κεφαλὴν τοῦ Χριστοῦ ἐν οἰκίᾳ Σίμωνος. — **Mv** : Ἰακώβου. — Θωμᾶ. — 2. — 1 (Κυρίλλου). — Σεραπίων. — Ἡ ἐν Κυρίῳ πάσχα τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ γυναικός. — **Mr** : Ἰακώβου.

Mart. 22. SYNAXARIA SELECTA. **H** : Θωμᾶ τοῦ πάλαι ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ (Mart. 19[1]). — Βυρίλλου ἐπισκόπου Κατάνης (Mart. 21[1]). — 2. — **P** : 2. 1 (perperam Βασιλίσσης). — Κυρίλλου (Mart. 21[1]). — Θωμᾶ. — **D** : 1. — Θωμᾶ τοῦ πάλαι... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις κτλ. — Κυρίλλου. — 2. — **Da** : 1. 2 (Καλλινίκου...). —



ἐναπορρίπτεται· καὶ αὖθις τῆς φυλακῆς ἐκβληθεὶς εὐτόνως ἐπὶ πολὺ ξέεται καὶ σιδήροις πεδηθεὶς τῇ φρουρᾷ κατακλείεται. Μεθ' ἡμέρας δέ τινας τῷ ἀποστάτῃ[2], διερχομένῳ κατὰ τὴν τῶν Ἀγκυρανῶν, προσάγεται δεδεμένος ὁ ἅγιος, καὶ ἐρωτηθεὶς τῷ κόμητι Φραβεντίῳ[3] λωροτομηθῆναι δίδοται[4]· ὃ καὶ θᾶττον ἐπληροῦτο. Καὶ δὴ πολλῶν αὐτῷ λώρων ἀποσυρέντων καὶ τῶν ὄπισθεν ἔμπροσθεν καὶ τῶν ἔμπροσθεν ὄπισθεν[5] κατὰ τῶν ὤμων τοῦ μάρτυρος ἐκκρεμαμένων λώρων, ἕνα[6] ἀπο- Mart. 22.

— [2] ἀποστάτω S. — [3] Βραβεντίω Mc. — [4] ἐκδίδοται Mc. — [5] κ. τ. ἔμπ. ὄπ. καὶ τ. ὄπ. ἔμπ. Mc. — [6] ἕνα λῶρον Mc.

---

Κοίμησις τοῦ ἁγίου Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως. — **Db** : 1. 2. — Κοίμησις τοῦ ἐν ἁγίοις Θωμᾶ. — **K** : 1. 2 (Καλλινίκου...). — Κοίμησις Θωμᾶ. — **N** : 1. — Θωμᾶ. — 2. — **Bb** : Ἀρτέμωνος (Mart. 24[1]). — Δομετίου (Mart. 24[3]). — Τῶν ἁγίων λε' μαρτύρων τῶν ἐν Καισαρείᾳ (Mart. 24[4]). — **Bc** : Ἀρτέμωνος. — 1. — **C** : Ἀρτέμωνος. — **Cd** : deest. — **Ce** : Ἀρτέμωνος. — **Cg** : Ἀρτέμωνος. — **R** : 1. — **Ra** : 1. — Κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θωμᾶ. — **Rb** : deest. — **Rc** : 1. — **Mc** : 1. — Δροσίδος θυγατρὸς Τραϊανοῦ[1] τοῦ βασιλέως. Ὁ βασιλεὺς Τραϊανὸς καθ' ἑκάστην τοῦ ζῆν ὑπεξάγων τοὺς τὸν Χριστὸν ὁμολογοῦντας, τὰ τούτων τίμια λείψανα ἐν ἀσέμνοις καὶ βεβήλοις τόποις ἀπέρριπτε. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον ἦσαν γυναῖκές τινες ἐν ἀσκητηρίῳ τινὶ τὰς ἐντολὰς τοῦ Θεοῦ τηροῦσαι καὶ ἔργον μετὰ τῶν ἄλλων ἀπαραίτητον ἔχουσαι, αἱ καὶ κανονικαὶ ἐγχωρίως λεγόμεναι, τὰ τῶν ἁγίων λείψανα μύροις καὶ ὀθονίοις περιστέλλειν καὶ ἀποτίθεσθαι ἐν τῷ αὐτῶν ἀσκητηρίῳ. Τοῦτο μεμαθηκυῖα ἡ τοῦ βασιλέως Τραϊανοῦ θυγάτηρ, Δροσὶς οὕτω καλουμένη, προσῆλθε ταῖς αὐταῖς γυναιξίν, ἔχουσα μεθ' ἑαυτῆς καὶ ἐσθῆτα πολύτιμον· καὶ τῶν κουβικουλαρίων ὕπνῳ βαθεῖ συσχεθέντων, ἠξίου συναπελθεῖν αὐταῖς εἰς ἀνάληψιν σώματος ἁγίου. Ἀδριανὸς δέ τις σύμβουλος τοῦ βασιλέως καὶ μνήστωρ τῆς Δροσίδος· « Αὐτοκράτορ δέσποτα, λέγει τῷ βασιλεῖ, κέλευσον στῆναι στρατιώτας εἰς φυλακὴν τῶν » βιοθανῶν, ἵνα γνῶμεν, τίνες εἰσὶν οἱ τὰ σώματα αὐτῶν ἀποσυλοῦντες. » Ὁ δέ· « Ἐπίτρεψον[2] τοῦτο » γενέσθαι, » φησί. Καὶ ἐπαγρυπνήσαντες οἱ φύλακες ἐκράτησαν τὰς πέντε κανονικὰς γυναῖκας ἅμα τῇ θυγατρὶ τοῦ βασιλέως Δροσίδι, καὶ πρωΐας ἀναγαγόντες παρέστησαν αὐτὰς τῷ βασιλεῖ. Ἰδὼν δὲ ὁ βασιλεὺς τὴν Δροσίδα ἐξέστη· καὶ ταύτην μὲν προσέταξε φυλάττειν ἐν ἀσφαλείᾳ, εἴ πως μετάμελος γένηται. Ἕνεκα δὲ τῶν πέντε κανονικῶν γυναικῶν, ἐκέλευσε κατασκευασθῆναι χώνην μεγάλην καὶ ἐμβληθῆναι ἐν αὐτῇ τὰς ἱερὰς γυναῖκας, καὶ σὺν αὐταῖς χαλκὸν ἱκανόν, ἐφ' ᾧ διὰ τῆς ἀναλύσεως ἀμφοτέρων ἀναμιγῆναι τὸν χαλκὸν μετὰ τοῦ χοὸς τῶν ἁγίων γυναικῶν· καὶ διὰ τοῦ τοιούτου χαλκοῦ κατασκευασθῆναι πυθμένας τῶν χαλκείων τοῦ ἐκ καινῆς ἀνεγερθέντος δημοσίου λουτροῦ, τοῦ ἐν τῇ ἑορτῇ τῶν Ἀπολλωνίων ὀφείλοντος ἀναφθῆναι καὶ ἐγκαινισθῆναι εἰς θεραπείαν καὶ ἀνάπαυσιν τῶν ὁμοφρόνων αὐτοῦ εἰδωλολατρῶν. Τούτων δὲ γενομένων καὶ τῶν τοῦ Χριστοῦ μαρτύρων χωνευθεισῶν, κατεσκευάσθησαν τὰ χαλκεῖα. Καὶ ἀνάψαντες τὸ λοετρὸν ἐκήρυξαν πανταχοῦ λέγοντες· « Ὅσοι φίλοι » τῶν εὐμενῶν θεῶν ἡμῶν ὑπάρχετε, εἰσέλθετε εἰς τὰ τοῦ δημοσίου λοετροῦ ἐγκαίνια· » καὶ εὐθέως συνέτρεχον ἅπαντες. Ὁ πρῶτος οὖν ὁρμήσας ἐν χρῷ τῆς πρώτης θύρας τοῦ λοετροῦ γενησόμενος, χαμαὶ πεσὼν τὴν ψυχὴν ἀπέρρηξεν, ὡσαύτως καὶ ὅσοι μετ' ἐκεῖνον προσήγγισαν· οὐδεὶς γὰρ τὴν πρώτην θύραν εἰσελθεῖν ἠδυνήθη. Τοῦτο μεμαθηκὼς ὁ βασιλεὺς τοὺς τῶν θεῶν αὐτοῦ ἱερεῖς προσκαλεσάμενος· « Εἴπατέ μοι, φησί, τί τοῦτο; μὴ ἄρα παρὰ τῶν χριστιανῶν μαγεία τις γέγονεν; » Οἱ δὲ εἶπον· « Οὐχί, βασιλεῦ, ἀλλὰ τὰ γενόμενα χαλκεῖα ἐκ τῶν λειψάνων τῶν κανονικῶν ἐκείνων γυναικῶν » τοῦτο πεποιήκασι· κέλευσον οὖν ἕτερα χαλκεῖα γενέσθαι καὶ οὕτως ἕξει τὸ ἐνεργόν. » Καὶ τούτου γενομένου, λέγει ὁ Ἀδριανὸς τῷ βασιλεῖ· « Κέλευσον, βασιλεῦ, τοὺς προτέρους πυθμένας τῶν χαλκείων » ἀναχωνευθῆναι καὶ γενέσθαι ἐξ αὐτῶν στήλας γυναικείας γυμνὰς τῶν πέντε κανονικῶν ἐκείνων, καὶ » πρὸς ὄνειδος καὶ ἀτιμίαν αὐτῶν ἐν τῷ δημοσίῳ λοετρῷ τῆς βασιλείας σου τὰς αὐτὰς στῆναι. » Καὶ εὐθὺς προσέταξεν ὁ βασιλεὺς καὶ γεγόνασι. Καὶ μετὰ τὸ στῆναι ταύτας, εἶδεν ὁ αὐτὸς καθ' ὕπνους πέντε ἀμνάδας ἀσπίλους νεμομένας ἐν παραδείσῳ καὶ ποιμένα φοβερὸν ποιμαίνοντα αὐτὰς καὶ λέγοντα τῷ βασιλεῖ· « Παρανομώτατε καὶ ἀσεβέστατε βασιλεῦ, ἃς σὺ ἐνόμισας ἐξ ἀτιμίας ἱστᾶν, ὁ καλὸς καὶ » ἀγαθὸς ποιμὴν ἀπὸ σοῦ ἀποσπάσας τέθεικεν ἐν τόπῳ, εἰς ὃν μέλλει καὶ Δροσὶς ἡ ἄσπιλος ἀμνὰς καί » σου θυγάτηρ ἐλθεῖν. » Ἔξυπνος δὲ γενόμενος ἐμάνη ὁ δυσσεβής, ὅτι καὶ μετὰ θάνατον αἱ ἅγιαι γυναῖκες κατῄσχυναν τὰς βουλὰς αὐτοῦ. Καὶ κελεύει δύο κλιβάνους ἀναφθῆναι ἐξ ἑκατέρου μέρους τῆς πόλεως καὶ πυροῦσθαι ἐφ' ἑκάστης ἡμέρας. Προστίθησι δὲ καὶ ἐπιγραφὴν ἐν τοῖς κλιβάνοις, τόπον βασιλικοῦ προστάγματος ἐπέχουσαν καὶ περιέχουσαν οὕτως· « Ἄνδρες Γαλιλαῖοι, οἱ τὸν ἐσταυρωμένον » προσκυνοῦντες, ῥύσασθε ἑαυτοὺς μὲν πλείστων βασάνων, ἡμᾶς δὲ κόπων· καὶ ἕκαστος ὑμῶν βαλέτω » ἑαυτὸν ἐν οἵῳδ' ἂν κλιβάνῳ ἀκωλύτως ἀρέσῃ[3]. » Τοῦ τοιούτου οὖν διακωδωνισθέντος προστάγματος, ἀκούσασα ἡ τοῦ Θεοῦ δούλη Δροσίς, ὅτι ἕκαστος τῶν χριστιανῶν πόθῳ τοῦ Θεοῦ καὶ πίστει ῥίπτουσιν ἑαυτοὺς ἐν τοῖς κλιβάνοις, ἀνατείνασα τὸ ὄμμα εἰς οὐρανοὺς εἶπε· « Δέσποτα κύριε Ἰησοῦ Χριστέ, » υἱὲ τοῦ Θεοῦ, εἰ σὸν θέλημά ἐστι σωθῆναί με καὶ ἐκφυγεῖν τὴν μανιώδη θρησκείαν Τραϊανοῦ τοῦ » ἐμοῦ πατρός, αὐτός με συνέργησον κουφισθῆναι τοῦ νυμφῶνος Ἀδριανοῦ τοῦ δυσσεβοῦς καὶ εἰς » τὸν οὐρανὸν ἀνελθεῖν, ὅπου αἱ πέντε κανονικαὶ αἱ ἐμὲ ὁδηγήσασαι εἰς τὸν φόβον σου· κοίμησον δὲ » καὶ βαθεῖ ὕπνῳ τοὺς ἐμὲ φυλάσσοντας, ἵνα δυνηθῶ ἐκφυγεῖν. » Ταῦτα εἰποῦσα καὶ τὸ βασιλικὸν σχῆμα ἀποθεμένη, ἐξῆλθεν ἀψοφητὶ μηδενὸς νοήσαντος. Ἀπερχομένη δὲ ἐφ' ᾧ ῥῖψαι ἑαυτὴν εἰς ἓν Mart. 22.

[1] Τραϊνοῦ Mc. — [2] ἐπίτρεψε Mc. — [3] ἀρεσθῇ Mc.

Mart. 22. σπάσας ὁ ἀδάμας ἔρριψε κατὰ πρόσωπον[7] τοῦ τυράννου. Ὁ δὲ πυρωθείσαις σούβλαις κατακαῦσαι[8] αὐτὸν ἐκέλευσε καὶ διατρῆσαι τὴν κοιλίαν[9] καὶ τὰ νῶτα καὶ πάσας τὰς ἁρμονίας· οὗ γενομένου τὸ πνεῦμα τῷ Θεῷ ὁ ἅγιος μάρτυς παρέθετο.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Καλλινίκης καὶ Βασιλίσσης.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Mart. 23. 1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος[1] Νίκωνος καὶ τῶν σὺν αὐτῷ[2] ἐννενήκοντα ἐννέα μαρτύρων. Οὗτος[3] ὑπῆρχε κατὰ τοὺς καιροὺς Κυντιανοῦ[4] ἡγεμόνος, ἐκ τῆς τῶν[5] Νεαπολιτῶν χώρας ὁρμώμενος, ὡραῖος τῷ κάλλει καὶ τῇ ὄψει λαμπρός[6], μητρὸς μὲν[7] χριστιανῆς, πατρὸς δὲ ἕλληνος. Στρατευθεὶς δὲ καὶ εἰς ἀνάγκην πολέμου εὑρεθεὶς[8] καὶ βαθὺ στενάξας καὶ εἰπών[9]· « Κύριε Ἰησοῦ Χριστέ, » ὁ Θεὸς τῆς μητρός μου[9], βοήθει μοι[10] », καὶ τῷ τιμίῳ σταυρῷ τειχισάμενος, μέσον τῶν πολεμίων εἰσελαύνει[11]. Καὶ οὓς μὲν μαχαίρᾳ παίων, οὓς δὲ δόρατι βάλλων, οὐ πρότερον ἀνῆκεν, ἕως οὗ πάντας ἐτροπώσατο καὶ φυγάδας ἐποίησε. Πάντων δὲ ἐπὶ τούτῳ ἐκπλαγέντων[12], μετὰ πάντων καὶ αὐτὸς οἴκοι καταλαμβάνει· καὶ τῇ μητρὶ τὰ τοῦ σκοποῦ προσαναθεὶς[13] ἐπὶ τὰ μέρη Κωνσταντινουπόλεως ἔπλεε. Φθάσας δέ τινα νῆσον καλουμένην Χίον, προσβάλλει τῷ ταύτης ὄρει· καὶ ἐπιμείνας ἡμέρας ἑπτὰ[14] νηστείᾳ καὶ προσευχῇ προσκαρτερῶν[15], εὐαγγελίζεται παρὰ θείου ἀγγέλου κατελθεῖν ἐπὶ τὸν αἰγιαλὸν μετὰ τῆς ῥάβδου, ἧς παρέσχεν[16] αὐτῷ ὁ φανείς. Καὶ ἐλθὼν ἐπὶ[17] τὸν αἰγιαλὸν καὶ εὑρὼν πλοῖον, ἀνῆλθεν ἐπ'[18] αὐτῷ, καὶ διὰ δύο ἡμερῶν κατέλαβε τὸ τοῦ Γάνου ὄρος. Καὶ κατὰ συγκυρίαν παρέστη αὐτῷ ἐπίσκοπος ἐν σχήματι μοναχοῦ, καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς ἀπήγαγεν εἰς ὃ κατῴκει σπήλαιον· καὶ κατηχήσας αὐτὸν εἰς τὸ τῆς ἁγίας Τριάδος ἐβάπτισεν ὄνομα. Καὶ μεταδοὺς αὐτῷ τῶν θείων[19] μυστηρίων[20], μετὰ τρεῖς χρόνους χειροτονεῖ αὐτὸν πρεσβύτερον, ἔπειτα καὶ[21] ἐπίσκοπον. Πάντων δὲ τῶν συνελθόντων μο|ναχῶν τὴν προστασίαν[22] δεξάμενος[23], f. 184. εἰς Μιτυλήνην ἔρχεται μετὰ πάντων, ἐπιγνοὺς τῷ Πνεύματι ὅτι ὑπὸ ἐθνῶν μέλλει ἀφανισθῆναι ὁ Γάνος· ὃ καὶ γέγονεν[24]· ἐκεῖθεν πρὸς Ἰταλίαν[25] ἀπαίρει. Καὶ τὴν μητέρα θεασάμενος καὶ θανοῦσαν κηδεύσας, τὴν Σικελίαν καταλαμβάνει[26] καὶ τὸ τοῦ Ταυρομενίου ὄρος οἰκεῖ μετὰ καὶ ἄλλων ἐννέα. Ὁ δὲ ἡγεμὼν τὰ κατὰ τὸν ἅγιον μαθὼν αὐτίκα παρέστησεν ἅπαντας ἐνώπιον αὐτοῦ· καὶ ἐρωτηθέντες ἐπ' ἐδάφους τείνονται καὶ πληγαῖς κατακόπτονται καὶ τελευταῖον τελειοῦνται τῷ ξίφει. Ὁ δὲ ἅγιος Νίκων τείνεται ἐκ τεσσάρων καὶ λαμπάσιν ὑποκαίεται καὶ ὑποζυγίοις ἀγρίοις δεσμεῖται καὶ κατὰ γῆν σύρεται καὶ κατὰ κρημνοῦ ὠθεῖται καὶ τὸ στόμα λίθοις τύπτεται καὶ τὴν γλῶτταν ἐκτέμνεται· τὸ δὲ τελευταῖον ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται[27].

— [7] τοῦ προσώπου Mc. — [8] κατακεντῆσαι Mc. — [9] αὐτοῦ *add.* Mc.

1. — [1] μάρτυρος Mc. — [2] ἑκατὸν *add.* Mc. — [3] ὁ ἅγιος N. *add.* Mc. — [4] Κυντιλιανοῦ Mc. — [5] *om.* Mc. — [6] καὶ φοβερὸς ἐν πολεμοῖς *add.* Mc. — [7] ὑπάρχων *add.* Mc. — [8] (στρατευθεὶς - εὑρεθεὶς) πολεμοῦ δέ ποτε συγκροτηθέντος μεγάλου καὶ σφοδροῦ ἀγῶνος ἐνστάντος τῶν τῆς μητρὸς παραινέσεων ὁ μακάριος μνησθεὶς Mc. — [9] (ὁ - μου) *om.* Mc. — [10] προσειπὼν *add.* Mc. — [11] εἰσῄει Mc. — [12] ἐπεὶ κατὰ νοῦν αὐτοῖς τὰ τοῦ πολέμου προέβη *add.* Mc. — [13] ἀναθεὶς Mc. — [14] ἑ. ἡ. Mc. — [15] νηστείαις καὶ προσευχαῖς καρτερῶν Mc. — [16] κατεῖχεν Mc. — [17] (αὐτῷ - ἐπὶ) ὁ φ. δοὺς αὐτῷ καὶ καταλαβὼν Mc. — [18] ἐν Mc. — [19] καὶ τῶν ἁγίων Mc. — [20] καὶ *add.* Mc. — [21] (ἐ. κ.) εἶτα Mc. — [22] ἀναδεξάμενος Mc. — [23] ἑκατὸν ἐννενήκοντα ὄντων τὸν ἀριθμὸν *add.* Mc. — [24] (ἐπεὶ - γέγονεν) *om.* Mc. — [25] Ἰτταλίαν S. — [26] (καὶ τὴν - καταλαμβάνει) *om.* Mc. — [27] τμηθεὶς ἀπῆλθε πρὸς Κύριον Mc.

---

Mart. 22. τῶν κλιβάνων διενοεῖτο καθ' ἑαυτὴν λέγουσα· « Πῶς ἀπέρχομαι πρὸς Θεὸν μὴ ἔχουσα ἔνδυμα γάμου, » βάπτισμα μὴ λαβοῦσα καὶ διὰ τοῦτο ἀκάθαρτος οὖσα· ἀλλά, βασιλεῦ τῶν βασιλευόντων, κύριε Ἰησοῦ » Χριστέ, ἰδοὺ κατέλιπον τὴν βασιλείαν μου διὰ σέ, ἵνα με καταστήσῃς θυρωρὸν τῆς βασιλείας σου. Σὺ » οὖν ὁ δι' ἡμᾶς βαπτισθείς, βάπτισόν με ἐν Πνεύματι ἁγίῳ. » Καὶ ὡς ταῦτα εἶπεν, ἐκβαλοῦσα ὅπερ ἐβάσταζε μύρον ἐκ τοῦ κοιτῶνος αὐτῆς, καὶ ῥίψασα ἑαυτὴν εἰς ἓν τῶν χειμαρροειδῶν λάκκων, ἐβαπτίσατο εἰποῦσα· « Βαπτίζεται ἡ δούλη τοῦ Θεοῦ Δροσὶς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ » ἁγίου Πνεύματος. » Καὶ φυλάξασα ἑαυτὴν ἡμέρας ἑπτὰ μετελάμβανε τροφῆς ἀγγελικῆς. Φιλόχριστοι δέ τινες εὑρόντες καὶ παραμείναντες ἔμαθον παρ' αὐτῆς οὑτωσὶ τὰ καθ' ἑαυτὴν διηγησαμένης. Τῇ δὲ ὀγδόῃ ἡμέρᾳ προσευξαμένη ἐφ' ᾧ τι ἄρα διαπράξασθαι, πρὸς Κύριον ἐξεδήμησεν. — 2. — Ἡ ἐν μεταλήψει τοῦ νομικοῦ πάσχα τελετὴ τοῦ μυστικοῦ δείπνου... Στίχοι εἰς τὸν νιπτῆρα... Στίχοι εἰς τὴν προδοσίαν. — **Mv** : 1. 2. — Τελετὴ τοῦ μυστικοῦ δείπνου... Εἰς τὸν ἱερὸν νιπτῆρα... Εἰς τὴν ὑπερφυᾶ προσευχὴν... Εἰς τὴν προδοσίαν. — **Mr** : 1.

Mart. 23. SYNAXARIA SELECTA. **H** : Δομετίου καὶ Πελαγίας καὶ Ἀκύλα ἐπάρχου καὶ Θεοδοσίας (Mart. 24[3]). — **P** : Δομετίου κτλ. — **D** : 1. — Δομετίου κτλ. — **Da** : 1. — Δομετίου κτλ. — **Db** : 1. — Δομετίου κτλ. — **K** : 1, mutil. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — Δομετίου κτλ. — **C** : Δομετίου κτλ. — Βασιλείου (Mart. 22[1]). — **Cd** : deest. — **Ce** : Δομετίου κτλ. — Βασιλείου. — **Cg** : Δομετίου κτλ. — Βασιλείου. — **R** : 1. — **Ra** : 1. — Δομετίου κτλ. — **Rb** : deest. — **Rc** : 1. — Δομετίου κτλ. — **Mc** : 1. — Δομετίων ξ. τ. (cf. Mart. 24[3]). — Ἡ ἐν τῷ Κυρίῳ πάσχα σταύρωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — Τοῦ συσταυρωθέντος τῷ Χριστῷ δικαίου λῃστοῦ. — Ἡ ἀποκαθήλωσις τοῦ Χριστοῦ. — Ἡ παρὰ τοῦ Ἰωσὴφ ταφὴ τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. — **Mv** : 1. — Γεωργίου τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ (Mart. 11[4]). — Δομετίων ξ. τ. — Σταύρωσις. — Τοῦ... δικαίου λῃστοῦ. — Ἡ ἀποκαθήλωσις. — Ταφή. — **Mr** : 1.



## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρτέμωνος ἐπισκόπου Σελευκείας τῆς Πισιδίας[1]. Οὗτος ὁ μακάριος τὴν Σελεύκειαν πατρίδα καὶ πόλιν ἔσχεν[2], ὡς ἐν αὐτῇ καὶ γεννηθεὶς καὶ τραφείς[3]. Τοῦ δὲ μακαρίου Παύλου[4] τὰ ἐκεῖσε καταλαβόντος, οὐκ ἦν τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύπτεσθαι· ἀλλά γε οὗτος[5] ὁ ἀπόστολος[6] ποιμένα καὶ διδάσκαλον τοῦ λαοῦ αὐτοῦ[7] προεστήσατο. Θεαρέστως δὲ τὴν ἐγχειρισθεῖσαν αὐτῷ ποίμνην ἰθύνων, γέγονε πᾶσι τοῖς χρείαν ἔχουσι λιμὴν σωτήριος, χηρῶν, ὀρφανῶν, πτωχῶν προνοητής, ὡσαύτως[8] ἰατρὸς ψυχῶν καὶ σωμάτων· ἐν τούτοις καλῶς πολιτευσάμενος ἐν γήρει[9] πίονι καταλύει τὸν βίον.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν[1] Ἰακώβου. Ὃς[2] ἐξ ἁπαλῶν ὀνύχων τὸν ἀσκητικὸν ὑπελθὼν βίον, νηστείᾳ καὶ[3] τῇ λοιπῇ κακοπαθείᾳ ἑαυτὸν ἐκάθαρεν[4]· ὅθεν ἐπὶ τὸν θρόνον ἀνάγεται τῆς ἐπισκοπῆς[5], πολλοὺς διωγμοὺς ὑπομείνας καὶ ἐξορίας, ὡς[6] τοὺς εἰκονομάχους ἐκτρεπόμενος. Ἐν τούτοις ἐγκαρτερῶν καὶ[7] λιμῷ καὶ δίψει προσπαλαίων, τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται[8]. Mart. 24.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Δομετίου καὶ Πελαγίας καὶ Ἀκύλα ἐπάρχου καὶ Θεοδοσίας[1].

4. Καὶ τῶν ἁγίων ὀκτὼ μαρτύρων τῶν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

1. Ἡ[1] ἀνάμνησις τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, ὅτε τὸ ἀπ' αἰῶνος ἄρρητον καὶ ἀπόκρυφον[2] καὶ ἀγγέλοις ἄγνωστον μυστήριον τῆς θείας τοῦ υἱοῦ τοῦ Θεοῦ[3] ἐνανθρωπήσεως ὁ ἀρχιστράτηγος Γαβριὴλ μυηθείς, ἀπεστάλη πρὸς τὴν πανάχραντον καὶ ὑπεράμωμον Μαρίαν ἐν πόλει Ναζαρέτ, μηνῦσαι αὐτῇ τὸ τοῦ Θεοῦ καὶ πατρὸς βούλημα, εὐδοκίᾳ καὶ συνεργείᾳ τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν, | καὶ εἶπεν αὐτῇ· « Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. » Mart. 25. f. 184v. Luc. 1, 28.

1. — [1] τῆς Π. *om.* Mc. — [2] ἔσχε καὶ πόλιν Mc. — [3] ἀνατραφεὶς Mc. — [4] τοῦ ἀποστόλου *add.* Mc. — [5] τοῦτον Mc. — [6] ὁ ἀπ. *om.* Mc. — [7] *om.* Mc. — [8] καὶ Mc. — [9] γήρᾳ Mc.

2. — [1] καὶ ὁμολογητοῦ *add.* Mc *ad d. 21 Martii.* — [2] οὗτος Mc. — [3] ν. κ. *om.* Mc. — [4] ἐκάθηρεν Mc. — [5] τὸν ἐπ. θρ. ἀν. Mc. — [6] καὶ *add.* Mc. — [7] καρτερῶν τῷ Mc. — [8] παρέθετο Mc.

3. — [1] *corr., prius* Θεοδωσίας S.

1. — [1] *praeit lemma* : ὁ εὐαγγελισμὸς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας Mc. — [2] καὶ ἀπ. *om.* Mc. — [3] τοῦ υἱοῦ τ. Θ. *om.* Mc.

---

Mart. 24. SYNAXARIA SELECTA. **H** : 4. — Τῇ ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας ἡ παραμονὴ τοῦ εὐαγγελισμοῦ. — **P** : 4. — **D** : 1. 4. — **Da** : 1. — **Db** : 1. — **K** : deest. — **N** : Ἀγαπίου κτλ. (Mart. 15[1]). — 1. — **Bb** : Βασιλείου (Mart. 22[1]). — **Bc** : 4 : Τριάκοντα πέντε μαρτύρων τῶν ἐν Καισαρείᾳ. Καὶ οὗτοι οἱ ἅγιοι τριάκοντα πέντε μάρτυρες τοῦ Χριστοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ὑπάρχοντες, ἐπειδὴ δόγμα κατεπέμφθη παρὰ τοῦ ἀσεβοῦς καὶ παρανόμου Ἰουλιανοῦ κελεύοντος τὸν μὲν Χριστὸν ἀθετεῖσθαι, τοὺς δὲ ἑλλήνων θεοὺς προσκυνεῖσθαι, οὐ μόνον οὐκ ἐπείσθησαν τοῦτο ποιῆσαι, ἀλλὰ καὶ παρρησιασάμενοι μεγάλῃ φωνῇ ἀνὰ πᾶσαν τὴν πόλιν περιιόντες ἔλεγον· « Χριστὸς μὲν μόνος ὡς Θεὸς ἀληθινὸς τιμάσθω » τε καὶ σεβέσθω· θεοὶ δὲ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν ἀπολέσθωσαν μετὰ τῶν σεβομέ- » νων αὐτούς. » Κρατηθέντες οὖν ὑπὸ τῶν εἰδωλολατρῶν παρεδόθησαν φυλακῇ καὶ καταμηνυθέντες τῷ ἀποστάτῃ τοῦ Χριστοῦ Ἰουλιανῷ παρανόμῳ προστάξει ἐκείνου τὰς κεφαλὰς προθύμως ἀπετμήθησαν, ἀναδραμόντες πρὸς Χριστόν, ὃν ἐκ βρέφους ἐπιποθήσαντες οὐκ ἠρνήσαντο· καὶ ἔλαβον γέρας ἀθανασίας. — **C** : 4 (τῶν ἁγίων ν' μαρτύρων). — Νίκωνος (Mart. 23[1]). — **Cd** : deest. — **Ce** : 4 (ν' μαρτύρων). — Νίκωνος. — Σεβήρου ἐπισκόπου Κατάνης. — **Cg** : 4 (ν' μαρτύρων). — Νίκωνος. — **R** : Σεβήρου ἐπισκόπου Κατάνης. — Ἀλεξάνδρων δύο καὶ Διονυσίων δύο καὶ τῆς συνοδίας αὐτῶν (Mart. 15[1], cf. Mart. 24[4]). — 1. — **Ra** : Ζαχαρίου μοναχοῦ καὶ ἐγκλείστου γεγονότος καὶ δουλεύσαντος τῷ Θεῷ ἀπερισπάστως. — Γεωργίου τοῦ νεοφανοῦς (Mart. 11[4]). — **Rb** : deest. — **Rc** : Ζαχαρίου. — 1. — **Mc** : 1. — Ἀρτέμωνος (April. 12[2]). — Ζαχαρίας. — 4. — Ὁ ὅσιος Μαρτῖνος ὁ Θηβαῖος ἐν εἰρήνῃ τ. — Ἡ παρὰ τῆς κουστωδίας ἀσφάλεια τοῦ ἁγίου τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — **Mv** : 2. 1. — Τοῦ ἁγίου μάρτυρος Ἀρτέμωνος πρεσβυτέρου. — Ζαχαρίας. — 4. — Νικάνδρου τοῦ Αἰγυπτίου (Mart. 15[2]). — Μαρτῖνος ὁ Θηβαῖος. — Ἡ ... ἀσφάλεια τοῦ ἁγίου τάφου. — **Mr** : Προεορτία τοῦ εὐαγγελισμοῦ.

Mart. 25. SYNAXARIA SELECTA. **H** : 1. — **P** : Ὁ εὐαγγελισμὸς τῆς παναχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐν τοῖς Χαλκοπρατείοις. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : deest. — **N** : 1. — **Bb** : 1. — Ἡ σύναξις Γαβριὴλ τοῦ ἀρχαγγέλου (Mart. 26[1]). — **Bc** : 1. — **C** : 1. — **Cd** : deest. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : deest. — **Rc** : 1. — **Mc** : 1. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα ἀνάστασις τοῦ Χριστοῦ. — **Mv** : 1. — Ἀνάστασις. — **Mr** : 1.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚϚ'.

Mart. 26.

1. Τῇ ἐπαύριον τῆς ἑορτῆς τοῦ εὐαγγελισμοῦ σύναξιν ἐπιτελοῦμεν τοῦ ἱεροῦ καὶ θείου Γαβριὴλ τοῦ ἀρχαγγέλου [1] ἐξ ἀρχῆς καὶ ἄνωθεν παραδεδομένην ὡς τῷ θείῳ καὶ ὑπερφυεῖ [2] καὶ ἀρρήτῳ μυστηρίῳ ὑπουργήσαντος [3].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων [1] μαρτύρων τῶν ἐν Γοτθίᾳ μαρτυρησάντων. Εἰσὶ δὲ πρεσβύτεροι δύο Ἀαθούσης καὶ Οὐήρικας μετὰ δύο υἱῶν αὐτῶν καὶ θυγατέρων δύο, καὶ Ἀρπύλας μονάζων· λαϊκοὶ δὲ Ἀβίππας, Κώνστας, Ἁγίας, Οὐΐας, Ἡγάθραξ, Ἰσκόης, Σίλας, ΣίδιτΖας, Σουηρίλας, Σουΐμπλας, Θέρθας, Φίλγας, καὶ γυναῖκες αἱ συντελειωθεῖσαι αὐτοῖς Ἄννα, Ἀλᾶς, Βάρκα, Μωϊκῶ, Μαμίκα, Οὐϊκώ, Ἀνιμαΐς [2]. Οὗτοι ὑπῆρχον ἐπὶ Οὐϊγγουρίχου [3] βασιλέως τῶν [4] Γότθων καὶ Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος καὶ Γρατιανοῦ βασιλέων Ῥωμαίων· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ὑπὸ τοῦ Οὐϊγγουρίχου [3] διὰ πυρὸς τὸν τοῦ μαρτυρίου στέφανον ἔλαβον, ἐμπρήσαντος τὴν τῶν χριστιανῶν ἐκκλησίαν, ἐν ᾗ συγκατεφλέχθησαν οἱ ἅγιοι μάρτυρες· ὅτε συνέβη καὶ ἄνθρωπόν τινα τῇ αὐτῇ [4] ἐκκλησίᾳ κομίζοντα προσφορὰν κατασχεθῆναι καὶ τὸν Χριστὸν ὁμολογήσαντα αὐτὸν γενέσθαι προσφορὰν ὁλοκαυτωθέντα διὰ πυρός.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Μανουήλ, Σαβίνου, Κοδράτου καὶ Θεοδοσίου. Οὗτοι ὑπῆρχον ἐκ τῆς χώρας τῶν ἀνατολικῶν [1]· ὁρῶντες

1. — [1] τοῦ ἀρχαγγέλου *om.* Mc. — [2] καὶ ὑπ. *om.* Mc. — [3] καθυπουργήσαντος Mc.

2. — [1] κϛ' *add.* Mc. — [2] (εἰσὶ δὲ - Ἀνιμαΐς) *om.* Mc; *nomina ita leguntur in* D : Βαθούσης καὶ Οὐήρκας μετὰ β' υἱῶν αὐτῶν καὶ θυγατέρων β' καὶ Ἀρπύλα μονάζοντος, λαϊκοὶ δὲ Ἀβίππας, Ἁγίας Ῥύϊας, Ἡγάθραξ, Ἠσκόης, Σίλας, ΣιγήτΖας, Σουηρίλας, Σουήμβλας, Θέρθας, Φίλγας, καὶ ἐκ τῶν γυναικῶν Ἄννα, Ἀλάς, Βάρην, Μωϊκῶ, Καμίκα, Οὐηκῶ καὶ Ἀνημαΐς. — [3] Ἰουγγουρίχου Mc. — [4] *om.* Mc.

3. — [1] μαρτύρων Κοδράτου, Θ. (Θεοδωσίου S) καὶ Μ. τῶν ἐν τῇ ἀνατολῇ Mc.

---

Mart. 26.

SYNAXARIA SELECTA. **H** : 2. 3. 6. — **P** : 2. 3. 6. — **D** : 1. 2. 3. 6. — **Da** : 1. 2. 3 (om. Θεοδοσίου). — 6. — **Db** : 1. 2. 3. 6. — **K** : deest. — **N** : 1. 2. 3 (Μανουὴλ καὶ Θεοδοσίου). — 7. 6. — **Bb** : 2. 7. — Καλλινίκου καὶ Βασιλίσσης (Mart. 22[2]). — **Bc** : 2. 7. — Καλλινίκου καὶ Βασιλίσσης. — **C** : 2. 7 (... Δόμνας). — **Cd** : 2. 7 (... Δόμνας). — **Ce** : 2. 7 (... Δόμνου). — **Cg** : 2. 7 (... Δόμνας). — **R** : 1. 2. — **Ra** : 1. 2. 3 (... Θεοδοσίας). — 6. — Ἰωάννου ἀρχιεπισκόπου Ἱεροσολύμων. — **Rb** : deest. — **Rc** : 1. 2. — **Mc** : 1. 2. 3. 4. — Διήγησις πάνυ ὠφέλιμος Μάλχου μοναχοῦ αἰχμαλωτισθέντος. Ἀπὸ τριάκοντα μιλίων Ἀντιοχείας τῆς ἐν Συρίᾳ, χωρίον ἦν καλούμενον Μαρώνεια. Ἐν τούτῳ γεννηθεὶς καὶ ἀνατραφεὶς ὁ Μάλχος ἦν σεβόμενος τὸν Θεόν. Καὶ οἱ μὲν γονεῖς αὐτοῦ ἔσπευδον συναφθῆναι τοῦτον γυναικί· αὐτὸς δὲ φυγεῖν ἐμελέτα καὶ μονάσαι. Τοίνυν καὶ ἀπελθὼν ἐν Βεροίᾳ [1], ἐμόνασε παρά τισιν ἀνδράσι μοναχοῖς. Ἀγωνισάμενος δὲ εὐηρέστησε τῷ Θεῷ· καὶ τελευτήσαντος τοῦ πατρὸς διενοεῖτο ὑποστρέψαι οἴκαδε πρὸς τὴν μητέρα λογισμοῦ γενόμενος, ὡς ἀναπαυθείσης τῆς μητρὸς ἐν αὐτῷ μετὰ τὴν τελευτὴν αὐτῆς κύριος γεγονὼς πάντων τῶν προσόντων αὐτῇ, οἰκονομῆσαί τινα μὲν τούτων εἰς διανομὰς πενήτων, τινὰ δὲ εἰς ἀνοικοδομὴν ἰδίου μοναστηρίου. Τοῦτον μὲν τὸν λογισμὸν τῷ πατρικῷ νόμῳ ἑπόμενος καὶ ἀναθεὶς τῷ ἡγουμένῳ, παρ' αὐτοῦ διεκωλύετο εἰς πέρας ἀγαγεῖν τὸν σκοπὸν ὡς ἀσύμφορον, πλέον δὲ καὶ δαιμονιώδη τὸν τοιοῦτον λογισμὸν εἶναι διαβεβαιουμένου. Τέλος οὖν μὴ θελήσας ὁ Μάλχος πεισθῆναι τῷ πατρί, ἔξεισι τῆς μονῆς· καὶ καταλαβὼν τὴν Ἔδεσαν καὶ τὴν τῶν Σαρακηνῶν ὑφορώμενος ἔφοδον προσεδέχετο συνοδοιπόρους. Καὶ τούτων συναχθέντων εἰς ἑβδομήκοντα ἐπορεύετο ἀδεῶς. Ὡς δὲ παρ' ἐλπίδα πλῆθος ἐφάνη Σαρακηνῶν ἀθρόως τούτοις ἐπιτεθέντων, ἅπαντες κατεσχέθησαν· καὶ ὁ εἰς οἰκεῖον λάχος λαβὼν τὸν Μάλχον Αἰθίοψ σὺν μιᾷ γυναικὶ αἰχμαλώτῳ, καμήλῳ δρομαίᾳ ἀμφοτέρους ἐποχεῖσθαι διετάξατο. Δρόμῳ οὖν ὀξυτάτῳ τῆς καμήλου πορευομένης, ὁ Μάλχος, κινδυνεύων ἅμα τῇ γυναικὶ κατακρημνισθῆναι, τὴν γυναῖκα συμπεριλαβών, κἀκείνη τὸν Μάλχον, ἐπέκειντο στερρῶς διὰ τῆς συμπλοκῆς τῇ καμήλῳ. Οὐ τοῦτο δὲ μόνον ἐπισυνέβη τῷ μοναχῷ, ἀλλὰ καὶ μετὰ τῶν ἄλλων καὶ κρέα καμήλου καὶ μὴ θέλοντι φαγεῖν καὶ τοῦ κυρίου τοῦ τότε λαχόντος οἴκαδε διασωθέντος προσελθεῖν τῇ κυρίᾳ αὐτοῦ δουλικῶς ὑπείκειν τε εἰς ὑδάτων μετακομιδείας καὶ ῥυπασμάτων ἐκφορήσεις, καὶ τελευταῖον τὴν τῶν προβάτων νομὴν ἐπιλέξασθαι εἰς ἀπαλλαγὴν τῶν ἐν τῇ οἰκίᾳ τρυχόντων ἀνιαρῶν. Καὶ ταῦτα μὲν τὰ τῆς παρακοῆς βλαστήματα. Τέως δὲ τὴν τῶν προβάτων νομὴν ἐγχειρισθεὶς ἐκουφίσθη μικρὸν τῶν φορτικῶν ἐπιταγμάτων. Παρηγορεῖτο γὰρ καὶ διὰ παραδειγμάτων στρέφων ἐπὶ λογισμὸν τὸν προπάτορα Ἰακὼβ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ αὐτὸν τὸν ἐν προφήταις μέγαν καὶ ἐν βασιλεῦσιν ἀοίδιμον Δαβὶδ διὰ τοῦ ποιμαίνειν πάρεργον τὴν βασιλείαν εὑράμενον. Εὐαρεστήσαντος οὖν τῷ κυρίῳ αὐτοῦ ἐπί τε τῇ τῶν ποιμνίων ἐπιμελείᾳ καὶ τῇ τῶν τυρῶν ἐργασίᾳ, τῇ τῶν εἰδῶν παραφυλακῇ τε καὶ παραδόσει τῶν τοιούτων πάνυ καθαρᾷ καὶ ἀδόλῳ, διαπράττεσθαί τι εἰς φιλοτιμίαν αὐτοῦ καὶ ἀντάμειψιν διενοεῖτο ὁ Αἰθίοψ, ἕνεκεν ἧς πρὸς αὐτὸν ἐνεδείξατο πίστεως καὶ δουλώσεως. Τὸ δὲ ἦν δοῦναι αὐτῷ εἰς γυναῖκα τὴν αἰχμαλωτισθεῖσαν αὐτῷ. Καὶ ἐπεὶ προσκληθεὶς ὁ Μάλχος ἤκουσε, παρὰ μὲν τὴν ἀρχὴν ἀναβολαῖς ἐχρῆτο, καὶ τὸν μοναστὴν προεβάλετο βίον, καὶ μὴ ἐλευθέραν εἶναι τὴν γυναῖκα ἀλλὰ συνεζευγμένην ἀνδρί, καὶ οὐ δίκαιον τὴν γυναῖκα τοῦ ἀνδρὸς τοιουτοτρόπως διαζυγῆναι. Ἐκεῖνος δὲ τὴν σπάθην γυμνώσας θάνατον ἠπείλησεν. Ὅθεν φοβηθεὶς παρέλαβεν ὁ Μάλχος καὶ μὴ βουλόμενος τὴν γυναῖκα, κρεῖσσον δὲ καθ' ἑαυτὸν λογισάμενος αὐτὸς ἑαυτὸν διαχειρίσασθαι ἢ τῇ

[1] Βυρίᾳ Mc.



δὲ καθ' ἑκάστην ἡμέραν [2] τοὺς χριστιανοὺς ἀναιρουμένους ὑπὸ τῶν εἰδωλολατρῶν [3], ἀπελθόντες ἑκουσίως ἑαυτοὺς ἐκδόντες τῷ τῆς χώρας ἄρχοντι, ἐξετάζοντι [4] τότε πολλοὺς τῶν χριστιανῶν, ἔστησαν ἔμπροσθεν αὐτοῦ καὶ ἑαυτοὺς χριστιανοὺς ὁμολογήσαντες, κρατηθέντες ἐνεβλήθησαν εἰς φυλακήν· καὶ μετά τινας ἡμέρας ἐκβληθέντες, ἐπὶ ξύλων [5] κρεμασθέντες γυμνοὶ καὶ τὰς πλευρὰς ξεσθέντες [6] καὶ [7] τῶν ξύλων καταβιβασθέντες καὶ ἐπὶ τριβόλων συρέντες, τέλος ἀπεκεφαλίσθησαν [8].

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν [1] Στεφάνου ἡγουμένου Τριγλείας [2] τοῦ ὁμολογητοῦ [3]. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἀρμενίου ἐκ βρέφους τὸν ἀσκητικὸν ἑλόμενος βίον. Διὰ δὲ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν ἱκετείᾳ καὶ παρακλήσει τῶν μοναχῶν ἡγούμενος καταστὰς τῆς μονῆς Τριγλείας [2], καὶ πολλοὺς τῇ ἀσκητικῇ πολιτείᾳ τελειώσας, ὕστερον ὑπὸ τοῦ ῥηθέντος δυσσεβοῦς Λέοντος, διωγμὸν κινήσαντος κατὰ τῶν προσκυνούντων τὰς ἁγίας καὶ σεπτὰς [4] εἰκόνας, καὶ αὐτὸς | προσκληθεὶς καὶ καταναγκασθεὶς ἀρνήσασθαι [5] τὴν προσκύνησιν [6] καὶ ὑπογράψαι [3] κατὰ τῆς ὀρθοδόξου πίστεως [7] καὶ μὴ πεισθεὶς ἀλλὰ μᾶλλον δυσσεβεῖς ἀποκαλέσας [8] τοὺς εἰς τοῦτο αὐτὸν [9] καταναγκάζοντας [10], πλεῖστα τιμωρηθεὶς καὶ φυλακαῖς προσομιλήσας καὶ ἐξορίαις ταλαιπωρηθεὶς καὶ [3] νοσήσας [3], πρὸς Κύριον, δι' ὃν τοὺς πολλοὺς πόνους [11] ὑπέστη, ἐξεδήμησεν.

Mart. 26.

f. 185.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἀβραὰμ τοῦ εἰς τὸ Λάτρος.

6. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ Ξυλινίτου.

7. Καὶ τῶν ἁγίων Φιλήμονος καὶ Δόμνου [1].

— [2] *om.* Mc. — [3] συνέθεντο ἀλλήλους παρρησιάσασθαι εὐσέβειαν ἵνα κληρονόμοι γένωνται τῆς βασιλείας τῶν οὐρανῶν καὶ δὴ *add.* Mc. — [4] Mc, ἐξετάζονται S. — [5] ξύλου Mc. — [6] ἐξέσθησαν τὰς πλευρὰς Mc. — [7] ἐκ *add.* Mc. — [8] τὰς κεφαλὰς ἀπετμήθησαν Mc.

4. — [1] καὶ ὁμολογητοῦ *add.* Mc. — [2] Τριγλίας Mc. — [3] *om.* Mc. — [4] σεπτὰς καὶ ἁγ. Mc. — [5] τὸν Χριστὸν καὶ *add.* Mc. — [6] τῶν ἁγίων εἰκόνων *add.* Mc. — [7] ὑπογράψαι *add.* Mc. — [8] ἀποκαλέσαι S. — [9] αὐτὸ S. — [10] ἀναγκάζοντας Mc. — [11] ἀγῶνας Mc.

7. — [1] *al.* Δομνίνου, *cf.* *Mart.* 21[2] *et* Synaxaria selecta.

---

γυναικὶ συμμιγῆναι. Ὡς οὖν τὸ ἀφόρητον τοῦτο τῆς τοῦ Μάλχου λύπης καὶ ἀδημονίας ἡ γυνὴ κατενόει, δεδοικυῖα μήπως δαιμονικῇ συνεργείᾳ τοιοῦτόν τι ἀτόπημα γένηται, θαυμασία οὖσα καὶ σώφρων συνεβούλευσε τῷ Μάλχῳ εἶναι μὲν ἀμφοτέρους καὶ ἀδιαιρέτους διὰ τὸν φόβον καὶ τὸ ἀνύποπτον, φυλάττειν δὲ ἑαυτοὺς ἁγνοὺς καὶ καθαροὺς ἐν τῷ λεληθότι· « Κἀκ τούτου λήψεται πάντως, φησί, καὶ ὁ κύριος » ἡμῶν ἐντελῆ πληροφορίαν ὡς οὐ δολιευσόμεθα αὐτῷ. » Ἤρεσεν ἡ βουλὴ τῷ Μάλχῳ, ἀλλ' εἰς ἔννοιαν οὗτος ἐλθὼν ἧς εἶχεν ἐν τῷ μοναστηρίῳ διαγωγῆς φυγεῖν ἐμελέτα· καὶ τοῦτο γνοῦσα ἡ γυνὴ παρεκάλει συνακολουθῆσαι αὐτῷ, καὶ ἐν παρθενῶνι ἀποκαταστῆσαι· ὁ δὲ ὑπέσχετο. Ποταμοῦ δὲ μεγίστου τούτοις παρακειμένου καὶ τὴν φυγὴν μὴ ἄνετον αὐτοὺς κεκτῆσθαι παρασκευάζοντος, ἀσκοὺς ἀπὸ δερμάτων κατασκευάσαντες καὶ φυσήσαντες καὶ ἀσφαλῶς δήσαντες, ἑκάτερος ἕνα τούτων λαβόντες καὶ τὸν ποταμὸν νυκτὸς εἰσδύντες, τοῖς ἀσκοῖς μὲν ὡς ναυσὶ χρησάμενοι, ὡς πηδαλίοις δὲ τοῖς ποσί, τῇ πέραθεν προσωρμίσθησαν· καὶ τῷ Θεῷ εὐχαριστήσαντες, οὐ νυκτὸς μόνον ὥδευον ἀλλὰ καὶ ἡλίῳ καυσούμενοι· καὶ τῶν ὄπισθεν μὴ ἐπιλανθανόμενοι πυκνὰ περιεστρέφοντο. Καὶ τοῦτο ποιοῦντες τὸν κύριον αὐτῶν ἑώρων Αἰθίοπα μετὰ δούλου ἑνὸς καμήλους δρομαίας ἐποχουμένους, γυμνά τε τὰ ξίφη κατέχοντας. Ὡς οὖν ἤδη τὸ θήραμα πλησίον εἶχον, οἱ φυγάδες ἀπηλλοιώθησαν, καὶ ὡσεὶ νεκροὶ γεγόνασι. Κατ' οἰκονομίαν δὲ Θεοῦ σπήλαιον ὑπὸ γῆν βαθύτατον φανὲν πρὸ ὀφθαλμῶν τούτους ὑπεδέξατο. Εἰσελθόντες οὖν ἐν αὐτῷ ἀσπίδας εὗρον καὶ ὄφεις, ἑρπετά τε ἰοβόλα καὶ ἕτερα διάφορα καὶ θηρία οὐκ ὀλίγα διὰ τὴν σφοδρὰν ἡλιοκαΐαν τῷ σπηλαίῳ προσφεύγοντα. Καὶ ἰδόντες ἐφοβήθησαν μέν, διὰ τὸν φόβον δὲ τοῦ Αἰθίοπος ἑαυτοὺς τῷ σημείῳ τοῦ σταυροῦ κατασφραγίσαντες ἔστησαν ἐν ἑνὶ μέρει τοῦ σπηλαίου προσδοκῶντες κατάβρωμα τοῖς θηρίοις γενέσθαι. Ἀποβάντες δὲ τῶν καμήλων οἱ διώκοντες καὶ δήσαντες ἐν χρῷ τοῦ σπηλαίου, ὁ μὲν δοῦλος προσελθεῖν ἐν τῷ σπηλαίῳ προσετάγη πρὸς τὸ ἐξαγαγεῖν αὐτούς. Ὁ δὲ τούτου κύριος τὴν σπάθην λαβὼν ἔστη παρὰ τῇ εἰσόδῳ τοῦ σπηλαίου, ἐφ' ᾧ ἐξιόντας διαχειρίσασθαι· καὶ τοῦ δούλου εἰσελθόντος, λέαινα ἀθρόον εἰσπηδήσασα καὶ τοῦ φάρυγγος δραξαμένη ἀπέπνιξε. Καὶ τοῦτον ἐνδακοῦσα εἵλκυσεν εἰς τὸν φωλεὸν αὐτῆς. Καὶ οἱ μὲν φυγάδες ἰδόντες ἐδόξασαν τὸν Θεόν. Ὁ δὲ Αἰθίοψ ὑπολαβὼν ὅτι ἀνθίστανται τῷ δούλῳ καὶ οὐ πείθονται ἐξελθεῖν, κρατῶν τὴν μάχαιραν γυμνὴν εἰσῆλθε καὶ αὐτός. Ἐκπηδήσασα δ' αὖθις ἡ λέαινα ἐπάταξε παραυτίκα καὶ αὐτόν. Οἱ δὲ φυγάδες εὐχαριστοῦντες ἐπὶ τῷ παραδόξῳ τούτῳ τῷ Θεῷ, προσεκαρτέρουν ἐλπίζοντες καὶ οὐκ εἰς μακρὰν αὐτοὺς ὑπὸ τῆς λεαίνης καταβρωθῆναι. Ἡ δὲ λαβοῦσα τὸν σκύμνον αὐτῆς ἐξῆλθε τοῦ σπηλαίου. Τότε καὶ οὗτοι ἐξιόντες εὗρον τὰς καμήλους δεδεμένας μετὰ καὶ βρωμάτων καὶ πομάτων ὧν ἐπεφέροντο· καὶ φαγόντες καὶ εὐφρανθέντες τῷ Θεῷ ηὐχαρίστησαν. Καὶ ἐπιβάντες τοῖς καμήλοις, διὰ δέκα ἡμερῶν τὴν ἔρημον διῆλθον καὶ κατέλαβον εἰς κάστρον. Κἀκεῖθεν ὁ τοῦ κάστρου ἄρχων ἀπέστειλε πρὸς δοῦκαν Μεσοποταμίας τούτους· κἀκεῖνος τὰς καμήλους ἐξωνησάμενος καὶ φιλοφρόνως δεξιωσάμενος καὶ εὐφράνας ἀπέστειλεν οἴκαδε χαίροντας. Τότε ὁ μοναχὸς Μάλχος ποιήσας τὸ ἱκανὸν καὶ ἔν τινι παρθενῶνι τὴν γυναῖκα κατατάξας, αὐτὸς ἀπελθὼν ἐν τῇ μονῇ ἐξ ἧς ἐξῆλθε, τοῦ ἐν αὐτῇ πατρὸς ἤδη τελευτήσαντος, ἀπήγγειλε τοῖς ἀδελφοῖς πάντα τὰ συμβάντα αὐτῷ. Καὶ ἔκτοτε μαθὼν ὅπερ ἐπόθει, ἦν προσεδρεύων τῷ μοναστηρίῳ, καὶ τῷ Θεῷ εὐχαριστῶν τῷ ῥυσαμένῳ αὐτὸν ἐκ τηλικούτου θανάτου καὶ τῶν κινδύνων. Διαβιοὺς οὖν ἔκτοτε χρόνους ἱκανοὺς καὶ τῷ Θεῷ εὐχαρίστως δουλεύσας ἄπεισι πρὸς τὰς αἰωνίους μονάς. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1.

Mart. 26.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

Mart. 27. **1.** Ἄθλησις τῆς ἁγίας μάρτυρος Ματρώνης ἐκ πόλεως Θεσσαλονίκης [1]. Αὕτη θεράπαινα ὑπῆρχεν ἰουδαίας τινὸς γυναικὸς Παυτίλης καλουμένης [2], γαμετῆς στρατοπεδάρχου [3] ἐν τῇ Θεσσαλονικέων πόλει. Ἀκολουθοῦσα δὲ μέχρι τῆς συναγωγῆς τῇ κυρίᾳ αὐτῆς, ἐνδότερον οὐ προσῄει, ἀλλ' ὑπέστρεφεν ἐν τῇ τῶν χριστιανῶν ἐκκλησίᾳ. Φωραθεῖσα οὖν τύπτεται ἀφειδῶς καὶ φρουρᾷ κατακλείεται καὶ ἐπὶ τέσσαρσιν ἡμέραις ἀπόσιτος διαμένει· εἶτα ἐξάγεται καὶ μάστιξι καταξαίνεται [4] καὶ πάλιν [5] ἐγκλεισθεῖσα καὶ πολυημερεύσασα τῇ εἱρκτῇ, ἐν αὐτῇ παρέθετο τῷ Θεῷ τὴν ψυχήν [6]. Ταύτης φασὶν τὸ ἅγιον λείψανον [7] τὴν Παυτίλαν [8] ἀπὸ τοῦ τείχους ῥῖψαι [9] κάτω καὶ [10] τὴν ἀξίαν δοῦναι δίκην ὀλισθήσασαν καὶ καταπεσοῦσαν [11] εἰς τὸ ὑπολήνιον, ἐν ᾧ ἄνωθεν ἐκθλιβόμενον [10] τὸ γλεῦκος ἐχεῖτο, κἀκεῖ [12] τὸν βίον καταστρέψαι [13]. Ὕστερον δὲ Ἀλέξανδρος ὁ ἐπίσκοπος τῆς πόλεως Θεσσαλονίκης τὸ σῶμα τῆς ἁγίας μάρτυρος Ματρώνης ἔνδον τοῦ τοίχους, ἐκκλησίαν κτίσας ἐκεῖσε ἀπέθετο τὴν μακαρίαν καὶ ἀοίδιμον ὁσίως καὶ εὐσεβῶς.

**2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κηρύκου τοῦ ἐν τῷ Ἄπρῳ.

**3.** Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου ἐπισκόπου Κορίνθου, ἀδελφοῦ· χρηματίσαντος [1] Πέτρου ἐπισκόπου Ἄργους τοῦ σημειοφόρου.

**4.** Καὶ τοῦ ὁσίου [1] Ἱλαρίωνος [2], ἡγουμένου γενομένου [3] μονῆς τῆς Πελεκητῆς.

**5.** Καὶ τοῦ ἐν ἁγίοις [1] πατρὸς ἡμῶν Εὐτυχίου ἐπισκόπου [2].

**6.** Καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἡρωδίωνος ἑνὸς τῶν ἑβδομήκοντα [1]. Οὗτος ἀκολουθῶν τοῖς ἁγίοις ἀποστόλοις διηκόνει αὐτοῖς ἐν ἅπασιν, ὡς Χριστοῦ μαθητὴς τοῦ εἰπόντος· « Ὁ θέλων » εἶναι πρῶτος ἔστω πάντων διάκονος. » Μετὰ δὲ ταῦτα ἐχειροτονήθη ὑπ' αὐτῶν ἐπίσκοπος Νέων Πατρῶν· πολλοὺς δὲ τῶν ἑλλήνων τῇ διδαχῇ ἐπιστρέφων εἰς Χριστόν, φθονηθεὶς ὑπὸ Ἰουδαίων ἐπισυστάντων αὐτῷ μετὰ εἰδωλολατρῶν, πρῶτα μὲν τυφθεὶς ἰσχυρῶς καὶ λίθοις τὸ στόμα συντριβεὶς καὶ ξύλοις κατὰ κεφαλῆς κρουσθεὶς ὕστερον μαχαίρᾳ ἀποσφάττεται· καὶ οὕτως παραδέδωκε τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ. Marc. 9, 35.

**7.** | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου [1] Ἀκακίου ἐπισκόπου Μελιτηνῆς τοῦ ὁμολογητοῦ. Οὗτος [2] ἦν ἐπὶ Δεκίου τοῦ παρανόμου βασιλέως· καὶ [3] κηρύσ- f. 185v.

**1.** — [1] τῆς ἐν Θ. Mc. — [2] ὀνομαζομένης Mc. — [3] τινος *add.* Mc. — [4] (καὶ ἐπὶ - καταξαίνεται) *om.* Mc. — [5] ἐξαχθεῖσα καὶ τυφθεῖσα καὶ *add.* Mc. — [6] τὴν ψ. τ. Θ. Mc. — [7] ἐντίμως κηδευθὲν ὕστερον *add.* Mc. — [8] Παυτίλλαν S. — [9] πρότερον ῥύψασαν Mc. — [10] *om.* Mc. — [11] ὀλισθήσασα γὰρ καὶ καταπεσοῦσα Mc. — [12] ἐκθλιβόμενον Mc. — [13] κἀκεῖ ἀπέστρεψεν *et hic des.* Mc.

**3.** — [1] γεγονότος Mc.

**4.** — [1] πατρὸς ἡμῶν *add.* Mc *ad d. Martii 28.* — [2] τοῦ νέου *add.* Mc. — [3] γεγονότος τῆς Mc.

**5.** — [1] τοῦ ὁσίου Mc. — [2] *om.* Mc.

**6.** — [1] *cetera desunt* Mc.

**7.** — [1] ὁσίου πατρὸς ἡμῶν Mc *ad d. Martii 31.* — [2] Ἀκάκιος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ τοῦ Χριστοῦ ὁμολογητὴς Mc. — [3] *om.* Mc.

---

Mart. 27. SYNAXARIA SELECTA. **H** : Ἰωάννου καὶ Βαραχίου τοῦ Πέρσου (Mart. 29[1]). — **P** : Ἰωάννου καὶ Βαρουχίου. — **D** : 1. — Ἰωάννου καὶ Βαρουχίου. — **Da** : 1. — **Db** : 1. 2. — Ἰωάννου καὶ Βαραχησίου. — **K** : deest. — **N** : 1. — Φιλητοῦ τοῦ συγκλητικοῦ καὶ Λυδίας τῆς γυναικὸς αὐτοῦ καὶ τῶν τέκνων Μακεδονίου [1] καὶ Θεοπρεπίου, Κρονίδου [2] κομενταρησίου καὶ Ἀμφιλοχίου δουκός. Οὗτοι ἦσαν ἐπὶ τοῦ βασιλέως Ἀδριανοῦ. Καὶ παραστάντος αὐτῷ τοῦ Φιλητοῦ, ἐπεὶ μὴ ἀντιστῆναι τῇ τούτου σοφίᾳ πρὸς ἰσχύος εἶχε, τῷ δουκὶ αὐτὸν Ἀμφιλοχίῳ παρέδωκε σὺν τοῖς τέκνοις καὶ τῇ γυναικί. Ὃς ἐπὶ ξύλου ἀμφοτέρους κρεμάσας καὶ ἰσχυρῶς ξέσας ἐμβάλλει εἰς φυλακὴν ἅμα τῷ κομενταρησίῳ Κρονίδῃ πιστεύσαντι. Νύκτωρ δὲ ψαλλόντων καὶ εὐχομένων, ἄγγελοι αὐτοῖς ἐπέστησαν πρὸς τοὺς ἀγῶνας παραθαρρύνοντες. Καὶ παραστάντες αὖθις τῷ δουκί, ἐν λέβητι πυρωθέντι ἐλαίου καὶ ῥητίνης μεστῷ βάλλονται· ὃν τῇ σφραγῖδι τοῦ ζωοποιοῦ σταυροῦ ψυχρὸν ἀπέδειξαν. Καὶ τοῦτο ἑωρακὼς ὁ δοὺξ ἐπίστευσε τῷ Χριστῷ· καὶ γυμνωθεὶς ἑαυτὸν ἐνέβαλεν ἐν τῷ λέβητι· « Κύριε Ἰησοῦ Χριστέ, λέγων, βοήθει μοι τῷ » πολλὰ δεινὰ ἐνδειξαμένῳ τοῖς δούλοις σου. » Καὶ φωνὴ πρὸς αὐτὸν ἐγένετο· « Εἰσηκούσθης, » ἀνάβαινε ὧδε. » Καὶ ἀνηγγέλη τοῦτο τῷ βασιλεῖ. Ὁ δὲ λέβητα πλήρη ἐλαίου μέγιστον ἐκκαῆναι ἐπὶ ἡμέρας προστάξας ἑπτά, ἐν τούτῳ πάντας ἐνέβαλε· καὶ φυλαχθέντας ἀβλαβεῖς θεασάμενος ἀνεχώρησε καταισχυνόμενος. Εὐξάμενοι δὲ οἱ ἅγιοι τὰς ἑαυτῶν ψυχὰς ἀπέδωκαν τῷ Θεῷ (Mart. 29[3]). — Στεφάνου ἡγουμένου (Mart. 26[4]). — 2. — Ἰωάννου καὶ Βαραχίου. — **Bb** : Φιλητοῦ. — Μανουὴλ καὶ Θεοδοσίου (cf. Mart. 26[3]). — Κοδράτου (cf. Mart. 26[3]). — Στεφάνου (Mart. 26[4]). — **Bc** : Φιλητοῦ. — Μανουὴλ καὶ Θεοδοσίου. — Κοδράτου. — Στεφάνου. — **C** : Φιλητοῦ κτλ. — **Cd** : Φιλητοῦ κτλ. — **Ce** : Φιλητοῦ κτλ. — **Cg** : Φιλητοῦ κτλ. — **R** : 1. 2. — Ἰωνᾶ καὶ Βαραχησίου. — **Ra** : 1 : Ματρώνης ἐκ πόλεως ὁρμωμένης Θεσσαλονίκης. Αὕτη θεράπαινα ὑπῆρχεν Παυτίλης τινὸς ἰουδαίας, γυναικὸς στρατοπεδάρχου ἐν τῇ Θεσσαλονικέων πόλει· ἥτις καὶ τοὺς πλοκάμους ἔπλεκε τῆς κυρίας αὐτῆς. Καὶ ἀκολουθοῦσα αὐτῇ μέχρι τῆς συναγωγῆς τῶν ἰουδαίων ἔνδοθεν οὐ προσῄει, ἀλλ' ὑπέστρεφεν ἐν τῇ τῶν χριστιανῶν ἐκκλησίᾳ. Καὶ διαβάλλεται τῇ ἑαυτῆς κυρίᾳ ὡς χριστιανὴ καὶ τύπτεται ὑπὸ τεσσάρων ἀνδρῶν ἀφειδῶς καὶ τῇ φρουρᾷ κατακλείεται. Μέχρις ἡμερῶν δεκατεσσάρων ἄσιτος διαμείνασα ἐξάγεται καὶ μάστιξι καταξαίνεται καὶ πάλιν ἐγκλεισθεῖσα καὶ πολυημερεύσασα [3] τῇ εἱρκτῇ ἐν αὐτῇ παρέ-

[1] Μακεδόνος S *ad d. Mart. 29.* — [2] *al.* Κρονίδους. — [3] ἐγκλεισθῆσαν κ. πολυημερεύσασαν Ra.



σων [4] τὸν Χριστὸν ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν. Καὶ δεθεὶς προσήχθη Μαρκιανῷ τῷ τῆς χώρας ὑπάρχῳ [5], καὶ παραστὰς ὡμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ καὶ περὶ τῶν χερουβὶμ καὶ τῶν σεραφὶμ <διεξῄει [6]·> ἐστηλίτευσε δὲ καὶ ἐχλεύασε τὴν τῶν εἰδώλων ματαιότητα [7] καὶ τοὺς θεοὺς τῶν ἑλλήνων καὶ τὴν [8] πλάνην αὐτῶν· ὅθεν βασανισθεὶς ἰσχυρῶς [9] τῇ φυλακῇ πρωσομιλεῖ [10]. Τὰ δὲ περὶ αὐτοῦ ὑπομνήματα Μαρκιανὸς ἀνήνεγκε [11] Δεκίῳ τῷ βασιλεῖ, ὅστις ἐκέλευσεν ἀπολυθῆναι τὸν ἅγιον ἀνύβριστον καὶ ἀτιμώρητον. Καὶ οὕτως ἀπολυθεὶς [12] τὰ στίγματα τοῦ Χριστοῦ περιφέρων ἐν [13] τῇ σαρκὶ αὐτοῦ καὶ πολλοὺς φωταγωγήσας, ἐν εἰρήνῃ ἀνεπαύσατο. Mart. 27.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

Mart. 28. **1.** Ἄθλησις τοῦ ἁγίου μάρτυρος καὶ ὁμολογητοῦ ἐπισκόπου Μάρκου Ἀρεθουσιῶν καὶ Κυρίλλου διακόνου ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου. Πλατύναντος τοῦ χριστιανισμοῦ, Μάρκος ὁ ἐπίσκοπος Ἀρεθουσιῶν εἰδωλικὸν ναὸν καταβαλὼν ἐκκλησίαν ἔκτισεν. Ἐπεὶ δὲ ὁ μέγας Κωνσταντῖνος ἐτελεύτησε καὶ ὁ τούτου υἱὸς Κωνστάντιος, Ἰουλιανὸς δὲ ὁ ἀποστάτης συγχωρήσει Θεοῦ τῆς βασιλείας ἐκράτησεν, ἀναθαρρήσαντες οἱ εἰδωλολάτραι ἐζήτουν τὸν ἅγιον Μάρκον διὰ τὴν παρ' αὐτοῦ τολμηθεῖσαν καθαίρεσιν τοῦ ναοῦ. Ὁ δὲ διὰ τὴν κελεύουσαν ἐντολὴν ἀνεχώρησεν μικρόν, ἐπειδή τινας ἑλκομένους ἐπύθετο δι' αὐτόν, ἐπανῆκε καὶ τοῖς μιαιφόνοις προὔδωκεν ἑαυτόν. Οἱ δὲ λαβόντες καὶ γυμνώσαντες καὶ σχοινίοις τοὺς πόδας δήσαντες, ἔσυρον ἐπὶ τὴν γῆν τύπτοντες καὶ εἰς ὑπονόμους ἐμβάλλοντες δυσώδεις. Εἶτα ἐξαγαγόντες καὶ τοῖς παισὶ παραδόντες ταῖς γραφίσι κεντᾶν, καὶ μέλιτι καὶ γάρῳ χρίσαντες ἐκρέμασαν εἰς ὕψος, θέρους ὄντος καὶ καύματος, πρὸς τὸ βρωθῆναι ὑπὸ μελισσῶν καὶ σφηκῶν [1]. Καὶ ὁ θεσπέσιος πρεσβύτης πάσχων ἐκαρτέρει. Ὡς δὲ ἐπεζήτουν αὐτὸν χρήματα εἰς ἀνοικοδομὴν τοῦ καταβληθέντος ναοῦ, ἔφησεν ὅτι· « Οὐδὲ ὀβολὸν ἕνα καταβαλῶ ὑμῖν » ἕνεκεν τούτου »· ἰδόντες αὐτὸν ἀνένδοτον ὄντα, μεταβληθέντες ἀπέλυσαν τῆς τιμωρίας καὶ τοῦ

— [4] δὲ *add.* Mc. — [5] ἄρχοντι Mc. — [6] Mc, *om.* S. — [7] (τὴν - ματαιότητα) *om.* Mc. — [8] πᾶσαν Mc. — [9] ἰ. βασ. Mc. — [10] ἐν φρουρᾷ κατεκλείσθη Mc. — [11] προσήγαγε Mc. — [12] καὶ *add.* Mc. — [13] καὶ ἀγαγὼν εἰς τὴν ποίμνην τοῦ Χριστοῦ καὶ ἐν θαύμασι διαπρέψας *add.* Mc.

**1.** — [1] σφιγκῶν S.

---

Mart. 27. θετο τῷ Θεῷ τὴν ψυχήν. Ταύτης ἡ Παυτίλα τὸ λείψανον διά τινος Στρατονίκου ἐν δέρει ἐγκλείσασα ῥίπτει κάτω ἀπὸ τοῦ τείχους· ὅπερ οἱ χριστιανοὶ λαβόντες κατέθεντο πλησίον τῆς λεωφόρου. Μετὰ δὲ τὸ παρελθεῖν τὸν διωγμόν, Ἀλέξανδρος ὁ ἐπίσκοπος οἶκον εὐκτήριον δειμάμενος ἔνδον τῆς πόλεως, τὸ ἅγιον αὐτῆς λείψανον κατέθηκε· Παυτίλα δὲ καὶ ὁ ταύτης ἀνὴρ εἰς ἐσχάτην πενίαν καταντήσαντες, εἰσελθούσης δὲ Παυτίλης ἐν τῷ ὑποληνίῳ τῶν σταφυλῶν ἐκθλιβόμενον οἶνον καταμαθεῖν, ὀλισθήσασα ἐπὶ κεφαλὴν κατενεχθεῖσα καὶ ὅλῳ τῷ σώματι συντριβεῖσα ἀπέρρηξε τὴν ψυχήν. — **Rb** : deest. — **Rc** 1. — **Mc** : 1. 2. — Φιλητοῦ κτλ. — Ἰωάννης καὶ Βαρούχιος ξ. τ. — Ὁ προφήτης Ἀνανίας ἐν εἰρήνῃ τ. — 3. 5. 6. — **Mv** : 1. 2. — Φιλητοῦ κτλ. — Ἰωνᾶς καὶ Βαραχήσιος. — Ὁ προφήτης Ἀνίνας ἐν εἰρήνῃ τ. — 3. 5. 6. — **Mr** : 1.

Mart. 28. SYNAXARIA SELECTA. **H** : Ματρώνης τῆς ἐν Θεσσαλονίκῃ (Mart. 27[1]). — **P** : Ματρώνης. — Ἡρωδίωνος (Mart. 27[6]). — Εὐτυχίου (Mart. 27[5]). — **D** : Φιλητοῦ κτλ. (Mart. 29[3]). — Τοῦ ἁγίου ἀποστόλου Ἡρωδιανοῦ (Mart. 27[6]). — Εὐτυχίου. — **Da** : Φιλητοῦ. — Ἰωνᾶ καὶ Βαραχησίου (Mart. 29[1]). — Ἱλαρίωνος ἡγουμένου μονῆς Πελεκητῆς (Mart. 27[4]). — Ἡρωδίωνος καὶ Εὐτυχίου ἐπισκόπου. — **Db** : Φιλητοῦ. — Ἰωνᾶ καὶ Βαραχησίου. — Ἱλαρίωνος. — Ἡρωδίωνος καὶ Εὐτυχίου. — **K** : mutil. Φιλητοῦ. — Ἰωνᾶ καὶ Βαραχησίου. — Ἱλαρίωνος. — Ἡρωδίωνος. — Εὐτυχίου. — **N** : Ἡρωδίωνος. — 1 : Τῶν ἁγίων ἱερομαρτύρων τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ μισοχρίστου ὑπὸ τῶν εἰδωλολατρῶν παθόντων, Μάρκου Ἀρεθουσιῶν ἐπισκόπου καὶ Κυρίλλου διακόνου καὶ ἑτέρων πολλῶν. Οὗτος ὁ ἅγιος Μάρκος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου. Διαλαμψάσης δὲ τῆς εὐσεβείας ἐπὶ τῶν χρόνων αὐτοῦ καὶ τῶν εὐσεβῶν πρὸς τὴν καθαίρεσιν τῶν εἰδωλικῶν ναῶν καὶ βωμῶν τετραμμένων, οὓς ὁ κατὰ Θεὸν ζῆλος πρὸς τοῦτο ἠρέθιζε, μετὰ τῶν ἄλλων καὶ ὁ μακάριος οὗτος εἰδωλικόν τι καταβαλὼν [1] τέμενος ἐκκλησίαν ἐδείματο. Τῶν πραγμάτων δὲ μεταπεσόντων καὶ τῆς ἐννόμου βασιλείας μετατεθείσης εἰς Ἰουλιανὸν τὸν παράνομον, οἱ τοῖς εἰδώλοις προστετηκότες παρρησιασάμενοι, τὸν ἅγιον ἐζήτουν διὰ τὴν παρ' αὐτοῦ τολμηθεῖσαν καθαίρεσιν τοῦ ναοῦ. Αὐτὸς δὲ διὰ τὴν κελεύουσαν ἐντολὴν ἀναχωρήσας μικρόν, ἐπειδή τινας ἑλκομένους ἐπύθετο δι' αὐτόν, ἐπανῆκε καὶ τοῖς μιαιφόνοις προὔδωκεν ἑαυτόν. Οἱ δὲ λαβόντες καὶ γυμνώσαντες καὶ παντὶ τῷ σώματι πληγὰς ἐπιθέντες καὶ εἰς ὑπονόμους ἐμβαλόντες δυσώδεις, εἶτα ἐξαγαγόντες καὶ τοῖς παισὶ παραδόντες ταῖς γραφίσι κεντᾶν καὶ γάρῳ διάβροχον ποιήσαντες καὶ ἐπιχρίσαντες μέλιτι ἐν ἀκμῇ θέρους μετέωρον ἐν καλωδίοις ἀνήρτησαν, ἵνα ὁμοῦ γυμνῇ τῇ κεφαλῇ καὶ ὅλῳ τῷ σώματι ἐν σταθηρᾷ μεσημβρίᾳ τὰς ἀκτῖνας τοῦ ἡλίου δεχόμενος φλέγοιτο καὶ σφηξὶ καὶ μελίτταις οἷς ἐπεκέχριστο εἴη τροφή. Καὶ ταῦτα ἐδρᾶτο καὶ ὁ θεσπέσιος πρεσβύτης πάσχων ἐκαρτέρει ὑπὲρ τοῦ μὴ προέσθαι τι τοῖς βασανισταῖς εἰς ἀνοικοδομὴν αὖθις τῶν καθαιρεθέντων ναῶν, καίτοι ὀλίγου ὄντος τοῦ ζητουμένου· καὶ μέντοι τῇ ἐνστάσει νικήσας καὶ τῇ πράξει νικᾷ. Ὡς γὰρ εἶδον τὸ νεανικὸν καὶ ῥωμαλέον τοῦ θαυμαστοῦ γέροντος, αὐτόν τε καθεῖλον οἷς ἀπῃώρητο, καὶ μεταβαλλόμενοι καὶ αὐτῷ διδασκάλῳ χρησάμενοι μετέμαθον τὴν εὐσέβειαν. Καὶ ταῦτα μὲν περὶ τοῦ θείου Μάρκου.

[1] καταλαβὼν N.

Mart. 29. λεὺς μὴ δυνηθεὶς ἀντιστῆναι τῇ τοῦ μάρτυρος σοφίᾳ, παρέδωκεν αὐτὸν Ἀμφιλοχίῳ τῷ δουκί· ὃς αὐτίκα ξύλοις ἀναρτᾷ[4] ἀμφοτέρους καὶ εὐτόνως σπαθίζεσθαι[5] τὰ σώματα αὐτῶν προστάττει[6] καὶ τῇ εἱρκτῇ ἐναπορριφῆναι ἅμα Κρονίδῃ[7] κομενταρησίῳ πιστεύσαντι. Τῇ δὲ νυκτὶ ἐκείνῃ, ψαλλόντων αὐτῶν καὶ εὐχομένων, ἐγένετο αὐτοῖς[8] ἀγγέλων ἐπιστασία παραθαρρύνουσα[9] αὐτοὺς πρὸς τοὺς ἀγῶνας. Τῇ δὲ ἕωθεν παραστάντων τῶν ἁγίων ἔφη ὁ τύραννος· « Πολλαὶ ὑμῖν ἀπόκεινται[10] βάσανοι » καὶ τιμωρίαι· » καὶ εὐθέως ἐν λέβητι χαλκῷ ἐκπυρωθέντι[11] σφοδρῶς[12] ἐλαίου καὶ ῥητίνης μεστῷ βάλλονται· καὶ αὐτίκα ἐψυχράνθη ὁ λέβης. Τότε θαυμάσας ὁ δοὺξ ἐπὶ τῷ γεγονότι καὶ πιστεύσας εἰσῆλθε καὶ αὐτὸς εἰς τὸν λέβητα[13]· « Κύριε Ἰησοῦ » Χριστέ, ὁ Θεός[14], βοήθει μοι », προσειπὼν « τῷ » πολλὰ κακὰ διαπραξαμένῳ τοῖς δούλοις σου. » Καὶ ἦλθε[15] φωνὴ[16] πρὸς αὐτόν· « Ἤκουσα τῆς » δεήσεώς σου· ἀνάβαινε χαίρων εἰς οὐρα» νούς[17]. » Ταῦτα ἀκούσας ὁ βασιλεὺς καὶ[14] αἰσχυνθεὶς[14] ἀνέζευξεν ἀπὸ τῆς Ῥωμαίων καὶ κατέλαβε τὸ Ἰλλυρικόν, ἀπειλῆς γέμων καὶ θυμοῦ. Καὶ ἐκέλευσεν ἐν ἑπτὰ ἡμέραις[18] λέβητα ἐκκαῆναι μεμεστωμένον ἐλαίου καὶ βληθῆναι ἅπαντας ἐν αὐτῷ. Οὗ γενομένου ἀβλαβεῖς οἱ ἅγιοι ἐφυλάχθησαν καὶ πάλιν αἰσχυνθεὶς ὁ βασιλεὺς ὑπεχώρησε[19] τὴν ὁδὸν αὐτοῦ. Οἱ δὲ ἅγιοι μάρτυρες εὐξάμενοι καὶ[20] εὐχαριστήσαντες ἀπέδωκαν τὰς ἁγίας[14] ψυχὰς αὐτῶν τῷ Κυρίῳ, τοὺς στεφάνους τῆς μαρτυρίας ἀναδησάμενοι.

4. | Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐσταθίου ἐπισκόπου Βιθυνίας. f. 187.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λʹ.

Mart. 30. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ συγγραφέως[1] τῆς Κλίμακος. Οὗτος ἑξκαίδεκα χρόνων ὑπάρχων καὶ ἀγχίνους ὢν[2] τῇ ἐγκυκλίῳ σοφίᾳ[3] προσαγήοχεν ἑαυτὸν τῷ Θεῷ θῦμα ἱερώτατον[3] ἐν τῷ Σιναίῳ ὄρει ἀνελθὼν καὶ ἐν ὑποταγῇ διάγων[4]· εἶτα μετὰ ἐννεακαιδέκατον χρόνον ἀναστὰς ἔρχεται ἐπὶ τὸ τῆς ἡσυχίας[5] στάδιον, ἀπὸ σημείων πέντε τοῦ κυριακοῦ τὴν τῆς παλαίστρας μονίαν εἰληφώς[6], Θωλᾶς[7] ὄνομα τῷ χώρῳ. Τεσσαράκοντα δὲ ἔτη διαπεράνας ἐν διακαεῖ[8] ἔρωτι καὶ πυρὶ θείας ἀγάπης ἀεὶ πυρπολούμενος, ἤσθιε μὲν ἐκ πάντων ἃ ἀμέμπτως ἐφεῖται τῷ ἐπαγγέλματι· βραχὺ δὲ λίαν, καὶ ἐν τούτῳ, οἶμαι, τὸ τοῦ τύφου κέρας κλῶν πανσόφως. Ἀλλὰ τὴν τῶν δακρύων ἐκείνου πηγὴν τίς ἐξείπῃ λόγος[9]; Ὕπνου δὲ τοσούτου[10] μετελάμβανεν, ὅσον τὴν τοῦ νοὸς

— [4] ἀναντᾶ S. — [5] μαστίζεσθαι Mc. — [6] προστάσσει Mc. — [7] τῷ *add.* Mc. — [8] αὐτῷ S. — [9] παραθαρύνουσα Mc. — [10] ἐπίκεινται Mc. — [11] ἐκπυρρωθέντι S. — [12] σφ. ἐκ. Mc. — [13] καὶ *add.* Mc. — [14] *om.* Mc. — [15] (τῷ - ἦλθε) *om.* Mc. — [16] ἐγένετο *add.* Mc. — [17] (ἤκουσα - οὐρανούς) εἰσηκούσθης ἀνάβαινε ὧδε Mc. — [18] ἐπὶ ἑπτὰ ἡμέρας Mc. — [19] (οἱ - ὑπεχώρησε) διεφυλάχθησαν ὁ δὲ β. αἰσχύνης πλησθεὶς ὑπέστρεψε Mc. — [20] τῷ Θεῷ Mc.

1. — [1] *om.* Mc. — [2] καὶ *add.* Mc. — [3] ἐγγεγυμνασμένος *add. supra lin.* Mc. — [4] διῆγεν Mc. — [5] νηστείας Mc. — [6] τῇ... μονῇ ἀνειληφὼς Mc. — [7] Θολᾶς Mc. — [8] τῷ *add.* Mc. — [9] τίς ἂν λόγος ἐξείποι Mc. — [10] τοσοῦτον Mc.

---

Mart. 29. καταισχύνας ἀπεπέμψατο. Τότε πάλιν πλῆθος δαιμόνων συναγαγὼν ὁ διάβολος μετεσχημάτισεν αὐτοὺς ἔν τε τῷ τῆς μητρὸς σχήματι τῷ <τε[9]> τῆς ἀδελφῆς, φίλων, συγγενῶν, δούλων, δουλίδων καὶ ἑτέρων γνωστῶν· καὶ ἦλθον πάντες ἐν τῷ φρέατι ὀλοφυρόμενοι καὶ παρακαλοῦντες θεάσασθαι αὐτὸν ἢ κἂν λόγον μεταδοῦναι αὐτοῖς. Τοῦ δὲ ἁγίου κάτωθεν προσευχομένου καὶ λόγον αὐτοῖς τὸ σύνολον μὴ ποιοῦντος, ἄφαντοι γεγόνασι. Πληρώσαντος δὲ αὐτοῦ ἐν τῷ φρέατι χρόνους δέκα, καὶ πᾶσαν ἄσκησιν κατορθώσαντος καὶ τῷ Θεῷ γνησίως ἀρέσαντος, Χρύσιός τις μοναχὸς τριακονταετῆ χρόνον τελέσας ἐν τῇ ἐρήμῳ ὑπὸ θείου ἀγγέλου ὁδηγηθείς, ἀφίκετο κηδεῦσαι τὸν Ἰωάννην· καὶ τρεῖς ἡμέρας ἔξωθεν τοῦ σπηλαίου διατελέσας, παρεκάλει αὐτὸν ὁρκίσας κατὰ τῆς δυνάμεως τοῦ Θεοῦ μηδέν τι τῶν κατ' αὐτὸν ἀποκρύψαι, ἀλλ' ἐξειπεῖν ὡς ἔδοξε τῷ Θεῷ. Διὸ καὶ γέγονέ τι παραδοξότατον σημεῖον πᾶσαν ἐκπλῆττον ἀκοὴν καὶ ὅρασιν. Ὑψωθείσης γὰρ αὐτομάτως τῆς γῆς ἐκ τοῦ πυθμένος τοῦ λάκκου τῶν εἴκοσι πήχεων, συνῆλθον ἀμφότεροι. Καὶ ἐπεὶ τὸν τοῦ μοναχοῦ Χρυσίου ὅρκον οὐκ ἔδει παραλογίσασθαι, διηγησάμενος πάντα τὰ κατ' αὐτὸν φιλήματί τε ἁγίῳ κατασπασάμενος καὶ συνταξάμενος ὁ Ἰωάννης πρὸς Κύριον ἐξεδήμησε. Τότε ὁ Χρύσιος ἐπιθεὶς τὸ παλλίον αὐτοῦ τῷ Ἰωάννῃ καὶ τὴν παρακειμένην πλάκα τῷ στόματι τοῦ φρέατος καὶ τοὺς συνήθεις ψαλμοὺς ψάλλων ἐφύτευσεν ἐν ἐκείνῳ τῷ τόπῳ φοίνικα. Καὶ εὐθέως ὁ φοῖνιξ ῥιζωθεὶς καὶ αὐξήσας καὶ εἰς τέλειον δένδρον ἀποκαταστὰς καὶ ἀνθήσας γέγονε πλήρης καρπῶν. Καὶ τοῦτο ἰδὼν ὁ γέρων εὐχαριστίαν δέδωκε τῷ Θεῷ, λέγων ὅτι· « Τοὺς » ἀγαπῶντας καὶ εὐαρεστήσαντάς σοι οὕτως οἶδας δοξάζειν, καὶ τῆς βασιλείας σου κληρονόμους » ποιεῖν. » Καὶ ὡς ταῦτα διελογίζετο προσευχόμενος, ἁρπάσαν αὐτὸν τὸ πνεῦμα ἤγαγεν ἐν ᾧ τόπῳ διῆγε, καὶ προσκαλεσάμενος ἄνδρα εὐλαβῆ, ἅπερ εἶδε καὶ ἤκουσεν ἠξίωσε συγγράψασθαι. — Σωσθένους κτλ. — **Mv**: Μάρκου, Κυρίλλου κτλ. — 1. 4. — Σωσθένους κτλ. — **Mr**: Μάρκου, Κυρίλλου κτλ. — 1.

Mart. 30. SYNAXARIA SELECTA. **H**: Ἀκακίου (Mart. 27[7]). — Μάρκου Ἀρεθουσιῶν καὶ Κυρίλλου (Mart. 28[1]). — Κυριακοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (Oct. 30[4]). — **P**: Ἀκακίου. — Μάρκου καὶ Κυρίλλου. — Κυριακοῦ. — 1. — **D**: Ἀκακίου. — 1. — Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυριακοῦ ἀρχιεπισκόπου. — **Da**: 1. — Ἀκακίου. — Ἰωάννου πατριάρχου Ἱεροσολύμων (Mart. 29[2]). — **Db**: 1. — **K**: 1. — **N**: 1. — **Bb**: Μάρκου ... Κυρίλλου. — 1. — Τριάκοντα ὀκτὼ μαρτύρων (Mart. 31[4]). — Ἰωάδ (Mart. 31[2]). — **Bc**: Μάρκου ... Κυρίλλου. — 1. — Τριάκοντα ὀκτὼ μαρτύρων. — Ἰωάδ. — Ἰωάννου πατριάρχου Ἱεροσολύμων. — **C**: Ἀκακίου. — Μάρκου. — Κυρίλλου. — 1. — Τῶν ἁγίων λη' μαρτύ-

— [9] *supplevi, om.* Mc.



Mart. 30. οὐσίαν τῇ ἀγρυπνίᾳ μὴ λυμήνασθαι· ὁ δὲ δρόμος αὐτοῦ προσευχὴ[11] ἦν ἀέναος καὶ πρὸς Θεὸν ἔρως ἀνείκαστος. Οὕτως οὖν τὴν[12] πᾶσαν ἀρετὴν ἐξασκήσας καὶ καλῶς πολιτευσάμενος, μεγίστων θεωριῶν γενόμενος ἀνάπλεως[13] καὶ τὸν μαθητὴν ὑπνοῦντα ἔν τινι τόπῳ ὑποκάτω πέτρας μεγίστης καὶ μέλλοντα ὑπ' αὐτῆς πιπτούσης ἤδη εἰς μέρη καὶ μέρη διαλυθῆναι[14], ἐν τῷ κελλίῳ ὢν καὶ θείῳ πνεύματι προγνούς[15], τοῦ τοιούτου θανάτου ἐρρύσατο ἐπιφανεὶς αὐτῷ καθ' ὕπνους καὶ διαναστήσας οὗ ἔμελλε παθεῖν πτώματος. Εἰς τοῦτο[16] οὖν ἀρετῆς ἀφικόμενος καὶ ἡγούμενος τοῦ ἁγίου ὄρους Σινᾶ χρηματίσας, κατέλιπε τὴν ἐπίκηρον ζωὴν καὶ πρὸς τὴν ἀΐδιον μετετέθη ἀνάπαυσιν, πρότερον σχεδιάσας τὴν πάνσοφον καὶ ψυχωφελῆ[17] βίβλον τῆς Κλίμακος[18] τῶν θείων καὶ πνευματικῶν ἀναβάσεων[19].

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΛΑʹ.

Mart. 31. 1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοφίλου καὶ τῶν σὺν αὐτῷ.

2. Καὶ τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ δικαίου[1] προφήτου Ἰωάδ. Οὗτος ἦν ἐκ τῆς Σαμαρείας· ὃν ἐπάταξεν ὁ λέων καὶ ἀπέθανεν, ὅτε ἀπεστάλη καὶ ἤλεγξε τὸν Ἱεροβοὰμ ἐπὶ[2] ταῖς δαμάλεσι. Προσέταξε γὰρ[3] αὐτῷ[4] ὁ Θεὸς ἀπελθεῖν μὲν[4] καὶ ἐλέγξαι, μὴ φαγεῖν δὲ ἄρτον μηδὲ[5] πιεῖν ὕδωρ, ἀλλ' ὑποστρέψαι ταχέως. Ἀπελθὼν δὲ καὶ εὑρὼν τὸν Ἱεροβοὰμ θύοντα ἐπεκάλεσεν[6] ἐν λόγῳ Κυρίου καὶ εἶπε· « Θυσιαστήριον, τάδε λέγει Κύριος· ἰδοὺ υἱὸς

III Reg. 13, 2. » τίκτεται τῷ οἴκῳ Ἰούδα, Ἰωσίας ὄνομα αὐτῷ· » καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν τού» των[7]. » Καὶ ἐκτείνας Ἱεροβοὰμ τὴν χεῖρα κρατῆσαι αὐτόν[8], ἐξηράνθη ἡ χεὶρ αὐτοῦ[9]. Καὶ παρακαλέσαντος | τοῦ Ἱεροβοὰμ καὶ τοῦ προφήτου δεηθέντος, ἀπεκατέστη[10] ἡ χεὶρ αὐτοῦ καθὼς τὸ πρότερον. Ὁ δὲ προφήτης ὑποστρέφων παρεπείσθη παρὰ ψευδοπροφήτου[11] συμφαγεῖν αὐτῷ ἄρτον. Καὶ διὰ τὴν παρακοὴν συνεχώρησεν αὐτῷ ὁ Θεὸς παταχθῆναι μὲν[12] καὶ ἀποκτανθῆναι ὑπὸ θηρίου[13] λέοντος, μὴ βρωθῆναι δέ· ἐτάφη γὰρ ἐν Βεθὴλ[14] ἐγγὺς τοῦ ψευδοπροφήτου Ἐνβὲ[15] τοῦ πλανήσαντος αὐτόν[4]. f. 187v.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀβδᾶ ἐπισκόπου καὶ Βενιαμὶν διακόνου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ ἐν Περσίδι. Καὶ ἐπεὶ κατέλυσε τὸν ναὸν τοῦ πυρός,

— [11] πηγὴ προσευχῆς Mc. — [12] οὗτος τοίνυν Mc. — [13] (μεγίστων - ἀνάπλεως) *om.* Mc. — [14] (ἤδη - διαλυθῆναι) ἀναιρεθῆναι Mc. — [15] γνοὺς Mc. — [16] ἐν τούτῳ Mc. — [17] κ. ψ. *om.* Mc. — [18] τ. κ. *om.* Mc. — [19] ἥτις καὶ κλίμαξ ἐπονομάζεται Mc.

1. — [1] ἁγίου Mc. — [2] ἐν Mc. — [3] μὲν οὖν Mc. — [4] *om.* Mc. — [5] μὴ Mc. — [6] ἀπεκάλεσεν Mc. — [7] τόπων Mc. — [8] παρευθὺ *add.* Mc. — [9] ἡ χ. α. *om.* Mc. — [10] ἀποκατέστη Mc. — [11] τινος *add.* Mc. — [12] παρεχώρησεν ὁ Θ. π. μ. αὐτὸν Mc. — [13] θηρὸς Mc. — [14] καὶ ἐτάφη ἐν Βεθλεὲμ Mc. — [15] Ἐμβὲμ τοῦ καὶ τοῦτον Mc.

---

Mart. 30. ρων. — Κυριακοῦ ἀρχιεπισκόπου. — **Cd**: Ἀκακίου. — Ἰωάννου Ἱεροσολύμων. — Μάρκου. — Κυρίλλου. — 1. — Τῶν ἁγίων λη' μαρτύρων. — Κυριακοῦ. — **Ce**: Ἀκακίου. — Μάρκου. — Κυρίλλου. — 1. — **Cg**: Ἀκακίου. — Μάρκου. — Κυρίλλου. — 1. — **R**: 1. — **Ra**: 1. — Ἀβδᾶ καὶ Βενιαμίν (Mart. 31[3]). — Τῶν ἁγίων τριάκοντα καὶ ὀκτὼ μαρτύρων. — Μενάνδρου (Mart. 31[5]). — Ἰωάβ (Mart. 31[2]). — Ἱλαρίωνος ἡγουμένου τῆς Πελεκητῆς (Mart. 27[4]). — Τοῦ ἁγίου ἀποστόλου Ῥοδίωνος. — **Rb**: deest. — **Rc**: Ὑπατίου ἐπισκόπου Γάγγρας (Nov. 14[2]). — Ἰακώβου υἱοῦ Ζεβεδαίου (Nov. 15[3]). — **Mc**: 1. — Κυριακὸς πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τ. — Ὁ ἅγιος Ἰωάννης πατριάρχης Ἱεροσολύμων ἐν εἰρήνῃ τ. — Ἡ ἁγία Εὐβούλη ἡ μήτηρ τοῦ ἁγίου Παντελεήμονος ἐν εἰρήνῃ τ. — **Mv**: 1. — Ἰωάδ (Mart. 31[2]). — Ζωσίμου ἐπισκόπου Συρακούσης (Ian. 21[3]). — Ἰωάννου τοῦ ἐν τῷ φρέατι. — Εὐσταθίου Βιθυνίας (Mart. 29[4]). — Τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ο' Σωσθένους, Ἀπολλῶ, Κηφᾶ, Καίσαρος καὶ Ἐπαφροδίτου (Dec. 8[3]). — Εὐβούλη ἡ μήτηρ τοῦ ἁγίου Παντελεήμονος ἐν εἰρήνῃ τ. — **Mr**: Μάρκου ... Κυρίλλου (Mart. 28[1]).

Mart. 31. SYNAXARIA SELECTA. **H**: 3. 4. 5. 2. — **P**: 3. 4. — **D**: 3: Ἀβδᾶ ἐπισκόπου καὶ Βενιαμὶν διακόνου. Ὁ ὅσιος ἐπίσκοπος Ἀβδᾶς θείῳ ζήλῳ διαθερμανθεὶς βασιλεύοντος Ἰσδιγέρδου[1] Περσῶν, Ῥωμαίων δὲ Θεοδοσίου τοῦ μικροῦ, πυρεῖον κατέλυσεν· πυρεῖα δὲ καλοῦσιν οἱ Πέρσαι τοὺς ναοὺς τοῦ πυρός, Θεὸν γὰρ τὸ πῦρ ὑπειλήφασιν. Εἰς ἀνάγκην δὲ καταστὰς ἢ τὸ πυρεῖον οἰκοδομῆσαι ἢ τὰς τῶν χριστιανῶν ἐκκλησίας καθαιρεθῆναι, αὐτὸς[2] ἐξ ἀνθρώπων γενέσθαι μᾶλλον[3] εἵλετο ἢ τὸ καταστραφὲν ἀναδείμασθαι, διὰ μὲν τῆς κατασκαφῆς τοῦ πυρείου τὸν διάπυρον αὐτοῦ ζῆλον, ὃν ἐκέκτητο πρὸς Θεόν, φανερὸν καθιστῶν, οἷς ἑώρα ἀντὶ τοῦ κτίστου τὰ κτίσματα σεβόμενα, τῷ δὲ τὸν θάνατον ἑλέσθαι τὸ τῆς ψυχῆς γενναῖον ἐπιδεικνύς· ἐντεῦθεν αὐτός τε διεχειρίσθη καὶ ὁ κατὰ τῶν χριστιανῶν ἤρξατο πόλεμος ἐπὶ τριάκοντα χρόνοις παραταθείς. Ἐν οἷς πολλῶν μὲν αἱ χεῖρες ἐτμήθησαν, πολλῶν δὲ τὰ ὦτα, ἄλλων δὲ αἱ κεφαλαὶ γυμναὶ τοῦ δέρματος μέχρι τῶν γενείων κατέστησαν· οἱ δὲ διαθλασθέντας καλάμους καὶ συσφιχθέντες ἐντὸς τοῦ σώματος διαδύντας ἐδέξαντο· εἶτα σχοινίοις εἰληθέντες καθ' ὅλου τοῦ σώματος ἀσφαλῶς, πικροτάτας ὑπέστησαν ἀλγηδόνας, τῶν καλάμων βίᾳ ἐξελκομένων. Πολλοὶ δὲ δεσμευθέντες χεῖρας καὶ πόδας ἐν βαθυτάτοις ἐρρίφησαν λάκκοις, ἐν οἷς μυῶν ἀγέλαι καὶ γαλῶν ἐναπεκλείσθησαν, τῆς εἰσόδου τῶν λάκκων ἀκριβῶς διησφαλισμένης. Καὶ συνέβαινε τῶν ἀθλητῶν τοὺς μῦς ἀπογεύεσθαι, μᾶλλον δὲ δαψιλῶς ἐμφορεῖσθαι ἀπορουμένης τροφῆς. Τοῦτο δὲ μακρὸν ὁμοῦ καὶ ὀδυνηρὸν ἐνεποίει τὸν θάνατον, δαπανωμένων κατὰ μικρόν. Καὶ ἄλλα δὲ εἰς ἔκπληξιν ἅμα καὶ τιμωρίαν ἐπενοήθη, δι' ὧν οὐκ ὀλίγοι κατὰ τῆς ἕδρας καὶ τῶν παιδογόνων μορίων εἰσωθήσεις καλάμων

[1] *corr., prius* Ἰδιγέρδου D. — [2] ||||||| αὐτὸς D — [3] ||||||| μᾶλλον D.

Mart. 31. ἐκρατήθη καὶ προσήχθη τῷ βασιλεῖ. Καὶ πρῶτον μὲν μετὰ πραότητος παρεκάλει αὐτὸν ἀνοικοδομῆσαι τὸν ναόν. Τοῦ δὲ ἀδύνατον εἶναι λέγοντος πάσας τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀποστείλας κατέστρεψε. Καὶ λαβόντος ἀρχὴν τοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ, πᾶσα ἡλικία διαφόροις τιμωρίαις ἐξεθερίζετο, ὧν πρῶτος μετὰ πολλὰς καὶ διαφόρους βασάνους ξίφει ἐτελειώθη ὁ ἱερώτατος Ἀβδᾶς. Ἔπειτα ἐν τριάκοντα ἔτεσι πολλοὶ μάρτυρες ἀπεδείχθησαν, ἐξ ὧν ἐστι καὶ Βενιαμὶν διάκονος. Ὃς καλάμους ὀξεῖς εἴκοσιν κατὰ τῶν χειρῶν καὶ τῶν ποδῶν δεξάμενος καὶ ἕτερον κάλαμον κατὰ τοῦ παιδογόνου μορίου, καὶ ῥάβδον παχεῖαν κλάδους μᾶλλον δὲ ὄζους ἔχουσαν πανταχόθεν κατὰ τῆς ἕδρας ἐνέβαλεν. Αὐτὸς δὲ γενναίως ταῦτα ὑπομείνας, εἴληφεν τοὺς τῆς ἀθλήσεως στεφάνους ἐν οὐρανοῖς ἐν Θεῷ· ἀμήν.

4. Τῇ[1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων λη' μαρτύρων.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Μενάνδρου.

6. Καὶ τοῦ ὁσίου Στεφάνου τοῦ θαυματουργοῦ.

7. Καὶ τοῦ ὁσίου Βλασίου, τοῦ ἐκ πόλεως Ἀμορίου τὴν γέννησιν ἔχοντος.

4. — [1] *haec et reliqua litteris minutis in marg. add.* S.

---

Mart. 31. καὶ ῥάβδων ὑποστάντες πρὸς[4] τὴν ἀνώδυνον ζωὴν μετετάξαντο. Ὧν ἐστιν εἷς καὶ ὁ μακάριος διάκονος Βενιαμὶν κατὰ τῶν ὀνύχων εἴκοσι καλάμους ὀξεῖς ἐμπαγεὶς καὶ κατὰ τῶν φυσικῶν καὶ ἀναγκαίων μορίων τοῦ σώματος. — 4. 5. 2. — **Da** : 6. 1. 3 (καὶ ἄθλησις Βενιαμίν). — **Db** : Ἀκακίου ἐπισκόπου Μελιτηνῆς (Mart. 27[7]). — Ἰωάννου πατριάρχου Ἱεροσολύμων (Mart. 29[2]). — 6. 1. 3 (καὶ Ἀθηναίου Βενιαμήν). — **K** : Ἀκακίου. — Ἰωάννου ἐπισκόπου Ἱεροσολύμων. — 6. 1. 3 (Βενιαμίν solius). — **N** : 3. 2. 1. 5. 6. — **Bb** : 3. — **Bc** : 3. — **C** : 3. 5. 2. — **Cd** : 3. 5. 2. — **Ce** : 3. 5. 2. — **Cg** : 3. 5. 2. — **R** : 1. 2. — Τῶν ἁγίων μαρτύρων Ἰωνᾶ καὶ Βαραχισίου καὶ τοῦ ἁγίου ἱερομάρτυρος καὶ ὁμολογητοῦ Ἀκακίου Μελιτηνῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ (cf. Mart. 27[7], Mart. 29[1]). — Κυριακοῦ τοῦ φανερώσαντος τὸν τίμιον σταυρόν, τοῦ Ἰούδα ὀνομαζομένου τὸ πρότερον. — **Ra** : 1. — Σαβίνου (Mart. 12[3]). — Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. — **Rb** : deest. — **Rc** : 1. — Τῶν ἁγίων Μαχθησοί, Ἡσακίου καὶ Συμεῶνος (Mai 15[5]). — Ἡρακλείου, Παυλίνου καὶ Βενεδίμου (Mai 15[6]). — Ὁσίου ἐπισκόπου Κουδρούβης τῆς κατὰ Ἱσπανίαν (Aug. 27[3]). — Λιβερίου ἀρχιεπισκόπου Ῥώμης τοῦ ὁμολογητοῦ (Aug. 27[2]). — **Mc** : Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. — 2. — **Mv** : Ὑπατίου ἐπισκόπου Γαγγρῶν (Nov. 14[3]). — Ἀκακίου. — 3. — Καὶ ἕτεροι ἅγιοι πολλοὶ εἰς φυλακὴν βληθέντες καὶ ὑπὸ μυῶν καὶ γαλῶν συγκλεισθέντων αὐτοῖς βιβρωσκόμενοι ἐτελειώθησαν. — **Mr** : Ὑπατίου ἐπισκόπου Γαγγρῶν.

— [4] πάντα *corr. supra lin.* D.

---

# ΜΗΝ ΑΠΡΙΛΛΙΟΣ

ἡμέρας ἔχει λ', ἡ ἡμέρα ἔχει ὥρας ιγ' καὶ ἡ νὺξ ὥρας ια'.

## ΠΡΩΤΗ.

April. 1. 1. Μνήμη τῆς ὁσίας[1] Μαρίας τῆς Αἰγυπτίας. Αὕτη ἐξ Αἰγύπτου ἦν[2], ἐν ἀκολασίᾳ δὲ[3] τὸ πρότερον ζήσασα καὶ πολλῶν ἀνθρώπων ψυχὰς διὰ τῆς κατὰ μίξιν ἡδονῆς πρὸς ὄλεθρον ἐκκαλεσαμένη[4] καὶ ἐπὶ χρόνοις δεκαεπτὰ τῇ ἀσελγείᾳ προσμείνασα διὰ τὸ εὐθὺς ἐκ παίδων πρὸς τὴν πονηρὰν πρᾶξιν ἐξολισθῆσαι[5], ὕστερον ἐπέδωκεν ἑαυτὴν πρὸς ἄκραν ἐγκράτειαν καὶ ἀρετήν[6]· καὶ τοσοῦτον ὑψώθη δι' ἀπαθείας, ὡς καὶ τοῖς ὕδασιν ἐπιβαίνειν καὶ πεζῇ διαπερᾶν, καὶ ἐν τῷ προσεύχεσθαι μετάρσιος φαίνεσθαι ἄνω εἰς τὸν ἀέρα ἱπταμένη[7]. Ἡ δὲ αἰτία τῆς μεταβολῆς ἐστιν αὕτη. Κατὰ τὸν καιρὸν τῆς τοῦ τιμίου ξύλου ὑψώσεως, πολλῶν ἁπανταχόθεν συντρεχόντων ἐν τοῖς Ἱεροσολύμοις, ἀκολάστοις νέοις καὶ αὕτη | (f. 188.) συνεξωρμήθη. Κατὰ τὸν τόπον δὲ γενομένη[8] καὶ ἀοράτως τῆς τῶν σεπτῶν εἰσόδου καὶ ἐποπτείας κωλυομένη, τὴν Θεομήτορα παρθένον ἐγγυητὴν ἔθετο, εἰ τὴν εἴσοδον συγχωρηθείη, σωφροσύνην μὲν ἀνελέσθαι[9], μηκέτι δὲ βίῳ πονηρῷ καὶ ταῖς σαρκικαῖς δουλεύειν ἡδοναῖς καὶ ἐπιθυμίαις. Καὶ μέντοι τῆς εὐχῆς τυχοῦσα τὴν ὑπόσχεσιν[10] οὐκ ἐψεύσατο· ἀλλὰ περαιωθεῖσα τὸν Ἰορδάνην καὶ γενομένη κατὰ τὴν ἔρημον, ἐπὶ χρόνοις τεσσαράκοντα ἑπτὰ ἠγωνίσατο· καὶ[3] μηδένα μὲν[11] ἀνθρώπων τὸν <δὲ[12]> Θεὸν μόνον ἔχουσα θεατήν[13], τῆς ἀνθρωπίνης φύσεως ἀπανέστη[14], τὴν δὲ[3] ἀγγελικὴν ἐπὶ γῆς ἀγωγὴν καὶ πολιτείαν ἀνεκτήσατο[15]. Ὕστερον δὲ κατὰ θείαν πρόνοιαν ὤφθη Ζωσιμᾷ τῷ ἁγίῳ γέροντι εἰς τὰ ἐνδότερα τῆς ἐρήμου ἐκβαθύναντι· καὶ συντυχοῦσα καὶ τὰ κατ' αὐτὴν διηγησαμένη καὶ εἰς τὸν ἐπιόντα χρόνον τὸν Ἰορδάνην πεζῇ

1. — [1] μητρὸς ἡμῶν *add.* Mc. — [2] ἦν ἐξ Α. Mc. — [3] *om.* Mc. — [4] ἐκκαλουμένη Mc. — [5] ἐξ. πρᾶξιν Mc. — [6] ἑαυτὴν ἐγκρατείᾳ καὶ ἀρετῇ Mc. — [7] (πεζῇ - ἱπταμένη) κατὰ γῆν εὐχομένην μετάρσιον αἴρεσθαι Mc. — [8] γενομένοι S. — [9] ἑλέσθαι Mc. — [10] ἐπαγγελίαν Mc. — [11] τῶν *add.* Mc. — [12] Mc, *om.* S. — [13] θ. ἔχουσα Mc. — [14] καὶ *add.* Mc. — [15] ἐκτήσατο *et hic des.* Mc.

---

April. 1. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — Τίτου (April. 2[1]). — Πολυκάρπου (April. 2[3]). — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Μακαρίου ἡγουμένου τῆς Πελεκητῆς. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Μακάριος ἐν Κωνσταντινουπόλει γεννηθεὶς καὶ νήπιος ἀπορφανισθεὶς ἀνάγεται παρὰ γνησίου αὐτοῦ θείου. Παραδοθεὶς δὲ εἰς τὴν τῶν ἱερῶν γραμμάτων παιδείαν, δεξιᾶς φύσεως ὢν καὶ ἐπιμέλειαν πολλὴν ἐπιδειξάμενος, συντόμως τὸ πᾶν τῆς γραφῆς διεξιὼν ἐπέγνω τὴν τῶν ἐπικήρων εὐτέλειαν καὶ ταχεῖαν φθορὰν καὶ τῶν οὐρανίων τὴν ἀϊδιότητα. Τούτου χάριν τῆς πόλεως ἐξιὼν κατήντησεν εἰς μοναστήριον Πελεκητὴν οὕτω προσαγορευόμενον· καὶ καταμίξας ἑαυτὸν τοῖς ἐκεῖσε μοναχοῖς, τὸ Χριστοφόρος ἀποβαλών, Μακάριος παρ' αὐτῶν ἐκεῖσε μετονομάζεται. Οὗτος μικροῦ δεῖν ἐν πάσαις ταῖς τοῦ κοινοβίου διακονίαις ὑπηρετήσας καὶ τὰς ἀρετὰς κατορθώσας ἐπὶ πολλῇ ταπεινώσει, γέγονεν ἀρχηγὸς ὁμοῦ τε καὶ θαυματουργὸς ἐξαίσιος· καὶ γὰρ ἀνίατα πάθη ἐθεράπευσεν ὁ Θεὸς δι' αὐτοῦ, καὶ ὑετὸν ἐξ οὐρανοῦ ἐπὶ γῆς δι' εὐχῆς κατήγαγε· καὶ μεγάλου καὶ ἐξακούστου γεγονότος ἐν ταῖς ἡμέραις ἐκείναις, πολὺ πλῆθος συνέρρεε πρὸς αὐτόν, οἱ μὲν ψυχικὰ ἐγκλήματα δι' αὐτοῦ ἀποσμηχόμενοι, οἱ δὲ σωματικῆς θεραπείας ἀπολαύοντες· ἕτεροι δὲ ψυχικῶς ὁμοῦ καὶ σωματικῶς ῥωννύμενοι ἐπορεύοντο οἴκαδε. Τῆς φήμης δὲ ταύτης Ταράσιος ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως κατήκοος γεγονώς, διὰ τὸν πατρίκιον αὐτὸν μετεστείλατο Παῦλον, πάλαι μὲν παρ' αὐτοῦ ἀπηγορευμένῃ νόσῳ κατεσχημένον[1] θεραπευθέντα, τότε δὲ τῆς συμβίου αὐτοῦ ὁμοίως παρὰ τῶν ἰατρῶν ἀπαγορευθείσης, παρ' αὐτοῦ δὲ ἀναρρωσθείσης. Τοῦτον οὖν εὐλογήσας ἱερουργὸν Κυρίου πεποίηκε, παρακοὴν γὰρ οὐκ ἐνόσει ὡς οἱ πολλοί, ἀλλ' ὑπακοὴν ἐπετήδευεν ὡς εἰς ζωὴν ἄγουσαν. Ἀπελθόντος δὲ πρὸς τὴν μονὴν αὐτοῦ, τὴν ταπείνωσιν ἣν εἶχε πολλαπλάσιον εἰργάσατο. Τότε ὁ σκανδαλουργὸς διάβολος βασιλέα τύραννον εἰς τὸ Βυζάντιον ἐμφυτεύσας, τὰς σεβασμίους εἰκόνας πυρὶ καὶ ὕδατι παρεδίδου· Λέων ἦν ὁ Ἀρμένιος οὗτος, ὃς τὸν ἁγιώτατον πατριάρχην Νικηφόρον ἐξορίᾳ παρέπεμψε, τοὺς ἀρχιερεῖς καὶ ἀρχιμανδρίτας ἐξορίαις τε καὶ φυλακαῖς καὶ δειναῖς κατῄκιζε μάστιξι. Τότε καὶ ὁ θαυμάσιος οὗτος ἀνὴρ εἷς ἦν ἐκ τῶν μνημονευθέντων ἁγίων πατέρων, ποικίλως βασανισθεὶς καὶ ἐν

[1] κατισχημένον Mc.